BYZANTINE GREEK SERIES · VOLUME 30

The History of Leo the Deacon

Leo the Deacon · Nikephoros Phokas

ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ ΙΣΤΟΡΙΑ ΠΕΡΙ ΠΑΡΑΔΡΟΜΗΣ ΠΟΛΕΜΟΥ

The History of Leo the Deacon

With Nikephoros Phokas' Skirmishing

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is in the public domain



Volume 30 of the Canes Nobiles Byzantine Greek interlinear texts

The Byzantine Greek text follows C. B. Hase's text,
Leonis Diaconi Caloensis Historiae libri decem et Liber
de velitatione bellica Nicephori Augusti (Bonn, 1828)

The History set from the Wikisource keying of Hase's text

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

The text is Hase's, with his capitals and punctuation; the Skirmishing, which he prints a chapter to a paragraph, is paragraphed by the press. ∗∗∗ marks a gap Hase notes. The margins give his chapter numbers.

CONTENTS

LEO THE DEACON

BOOK I

I · The Expedition to Crete 11
II · The Siege 22

BOOK II

III · Leo Phokas Against Chambdas 33
IV · The Town Taken 44
V · The Death of Romanos and the Plot of Joseph 55

BOOK III

VI · Nikephoros Proclaimed 63
VII · The March on Constantinople 74
VIII · Nikephoros Emperor; the Cilician War 84

LEO THE DEACON

(continued)

BOOK IV

IX · The Fall of Tarsus 95
X · Discontent in the City; Disaster in Sicily 108
XI · The Syrian Campaign 120

BOOK V

XII · Sphendosthlavos Invades Mysia 128
XIII · Antioch Taken; the Plot 138
XIV · The Murder of Nikephoros 147

BOOK VI

XV · John Tzimiskes Emperor 157
XVI · The Patriarchs and the Rus 167
XVII · Bardas Skleros Against the Rus 180

BOOK VII

XVIII · The Revolt of Bardas Phokas 188
XIX · The End of the Revolt 200

BOOK VIII

XX · The March to Preslav 214
XXI · The Capture of Preslav 226

LEO THE DEACON

(continued)

BOOK IX

XXII · Before Dorystolon 237
XXIII · The Rus at Bay 246
XXIV · Victory and the Peace 255

BOOK X

XXV · The Eastern Campaign; the Patriarchs 266
XXVI · The Comet and the Wars After John 276
XXVII · The Death of John 288

NIKEPHOROS PHOKAS

I · Preface; Watch-Posts and Spies 301
II · Raids and the Shadowing of the Enemy 314
III · Following the Raiders 328
IV · The Baggage-Train and the Raiders 337
V · Ambushes in the Passes 351
VI · When the Horse Leaves the Foot 360
VII · Safety and the Baggage 371
VIII · Against a Great Army 380
IX · Decoys; the Army and Its Rights 391
X · Invading Their Land; Sieges 401
XI · Divided Forces and the Return 414
XII · The Night Battle 424

LEO THE DEACON

ΛΕΟΝΤΟΣ ΔΙΑΚΟΝΟΥ ΙΣΤΟΡΙΑ

The History

BOOK I

I · THE EXPEDITION TO CRETE

Leo explains why he writes history: portents, earthquakes, and wars so great that many expect the end of the world. He names himself, Basil's son, from Kaloe by the springs of the Kaystros. After Constantine Porphyrogennetos dies, his son Romanos resolves to avenge Gongyles' disastrous expedition against Arab Crete and sends Nikephoros Phokas, Domestic of the Schools and commander of the eastern armies. Nikephoros lands his army by ladders from the ships, routs the Cretans, and shuts them in their town; but a reconnoitering company under Pastilas gives itself to luxury and is ambushed and cut down.

Εἴπερ ἄλλο τι τῶν ἀγαθῶν τὸν βίον ὀνίνησι, τούτου 1
if-indeed other anything of-the goods the life benefits than-this
οὐχ ἧσσον, ἀλλὰ καὶ μᾶλλον ἡ ἱστορία, ἐπωφελές
not less but even more the history beneficial
τι πρᾶγμα πεφυκὸς καὶ λυσιτελές. ποικίλας γὰρ καὶ
a thing being-by-nature and profitable varied for and
παντοδαπὰς ἀπαγγέλλουσα πράξεις, καὶ ὅσας ἡ φορὰ
manifold reporting deeds and as-many-as the motion
τοῦ χρόνου καὶ τῶν πραγμάτων κυλίνδειν εἴωθεν, ἡ
of-the time and of-the affairs to-roll is-wont the
προαίρεσις δὲ μάλιστα τῶν κεχρημένων τοῖς πράγμασι,
choice and most-of-all of-those having-dealt with-the affairs
τὰς μὲν ἀσπάζεσθαι καὶ ζηλοῦν τοῖς ἀνθρώποις
the(-ones) indeed to-welcome and to-emulate for-the men
νομοθετεῖ, τὰς δὲ ἀποδιοπομπεῖσθαι καὶ ἀποτρέπεσθαι·
it-prescribes the(-ones) and to-reject and to-turn-from
ὡς μὴ λάθωσιν ἀβουλήτως τὰ μὲν ὀνησιφόρα καὶ
so-that not they-escape-notice unwillingly the indeed beneficial and
λῴονα προηκάμενοι, τοῖς δὲ ἀπευκταίοις καὶ βλαβεροῖς
better having-let-go on-the and abominable and harmful

ἑαυτοὺς περιπείραντες. ἐπεὶ οὖν λυσιτελὲς ἡ ἱστορία μετὰ
themselves having-impaled since then profitable the history with
τῶν ἄλλων βιωφελῶν χρῆμα τελεῖν ὡμολόγηται, ἅτε
the other life-benefiting thing to-be-counted it-is-agreed as
τὰ θνητὰ ἀναβιώσκειν ἢ ἀνηβάσκειν παρεχομένη,
the mortal(-things) to-revive or to-grow-young-again providing
καὶ μὴ ἐῶσα τοῖς τῆς λήθης βυθοῖς παρασύρεσθαί
and not allowing by-the of-the oblivion depths to-be-swept-away
τε καὶ συγκαλύπτεσθαι· διὰ ταῦτα, πολλῶν ἐν τῷ
both and to-be-covered-over because-of these-things many in the
κατ᾽ ἐμὲ χρόνῳ πραγμάτων ἐξαισίων καὶ ἀλλοκότων
in my time events extraordinary and strange
καινοτομηθέντων, καὶ φοβερῶν κατ᾽ οὐρανὸν δειμάτων
having-been-newly-wrought and fearful in heaven portents
ἐπιφανέντων, καὶ σεισμῶν ἀπίστων κινηθέντων, σκηπτῶν
having-appeared and earthquakes incredible having-been-stirred thunderbolts
τε κατενεχθέντων, καὶ ὑετῶν λάβρων καταῤῥαγέντων,
both having-been-hurled-down and rains violent having-burst-down
πολέμων τε συῤῥαγέντων, καὶ στρατευμάτων πολλαχοῦ
wars both having-broken-out and armies in-many-places
τῆς οἰκουμένης ἐπιδραμόντων, καὶ πόλεων καὶ χώρων
of-the inhabited-world having-overrun and cities and lands
μεταναστάντων, ὡς πολλοῖς δοκεῖν, ἀλλοίωσιν ἄρτι τὸν
having-moved so-that to-many to-seem alteration now the
βίον λαβεῖν, καὶ τὴν προσδοκωμένην δευτέραν κατάβασιν
life to-take and the expected second descent
τοῦ Σωτῆρος καὶ Θεοῦ ἐπὶ θύραις ἐγγίζειν· ἔδοξέ μοι,
of-the Savior and God at doors to-draw-near it-seemed-good to-me
μὴ οὕτω φρίκης μεστὰ καὶ θαύματος ἄξια πράγματα
not so of-shuddering full and of-wonder worthy events
σιγῇ παραδραμεῖν, ἀλλ᾽ εἰς τοὐμφανὲς ἀνειπεῖν, ὡς
in-silence to-pass-by but into the-open to-proclaim so-that

εἶναι παίδευμα καὶ τοῖς ὕστερον· εἴ γε μὴ δεδογμένον
to-be lesson also for-those later if at-least not decreed
εἴη τῇ προνοίᾳ, αὐτίκα καὶ καταπόδας τὸ βιωτικὸν
it-be by-the providence at-once and forthwith the life's
πορθμεῖον ἐν τῷ τῆς συντελείας ὅρμῳ ἐλλιμενίζειν, καὶ
ferry in the of-the consummation harbor to-bring-to-port and
τὸ σχῆμα τοῦ κόσμου παραγαγεῖν. ἀλλά μοι εἴη
the fashion of-the world to-bring-to-an-end but to-me may-it-be
τὸν ὑπὲρ ἐμὲ τοσοῦτον ἆθλον ἐπανῃρημένῳ, μὴ δεύτερον
the beyond me so-great contest having-taken-up not second
τῆς προθυμίας δραμεῖν, ἀναλόγως δὲ τοῦ μεγέθους τῶν
to-the eagerness to-run proportionately and to-the greatness of-the
συμβεβηκότων ἱκέσθαι, καὶ ταῦτα δεόντως ἐπεξηγήσασθαι.
events to-attain and these-things fittingly to-set-out-in-full
ἡ μὲν οὖν ἱστορία κατὰ τὸ ἐνὸν ἐμοὶ λεχθήσεται
the indeed then history according-to the possible for-me will-be-told
κατὰ μέρος· ὁ δὲ ταῦτα συντάξας Λέων εἰμὶ
in detail the(-one) and these-things having-composed Leo am
Βασιλείου υἱός· πατρὶς δέ μοι Καλόη, χωρίον τῆς Ἀσίας
of-Basil son homeland and to-me Kaloe place — of-Asia
τὸ κάλλιστον, παρὰ τὰς κλιτῦς τοῦ Τμώλου ἀνῳκισμένον,
the most-beautiful beside the slopes of-the Tmolus settled
ἀμφὶ τὰς πηγὰς τοῦ Καϋστρίου ποταμοῦ, ὃς δή, τὸ
about the springs of-the Kaystros river which indeed the
Κελβιανὸν παραῤῥέων καὶ ἥδιστον θαῦμα τοῖς ὁρῶσι
Kelbianon flowing-past and most-sweet wonder to-those seeing
προκείμενος, ἐς τὸν τῆς κλεινῆς καὶ περιπύστου Ἐφέσου
lying-before into the of-the famous and renowned of-Ephesus
κόλπον πελαγίζων ἐσβάλλει. ἀλλ' ἐπὶ τὴν τῶν κοινῶν
gulf spreading-into-a-sea empties but to the of-the common
πραγμάτων ἰτέον διήγησιν, περὶ πλείστου τὸ ἀληθίζειν
affairs one-must-go narrative about most the to-speak-truth

ποιουμένοις ὡς μάλιστα, ὅτι καὶ τοῦτο τῇ ἱστορίᾳ τῶν
making as most because also this to-the history than-the
ἄλλων μᾶλλον ἁρμόττει. φασὶ γὰρ καὶ οἱ τὸν λόγον
others more befits they-say for also those in-the speech
σοφοί, ῥητορικῇ μὲν προσήκειν δεινότητα, ποιητικῇ δὲ
wise to-rhetoric indeed to-belong cleverness to-poetry and
μυθοποιΐαν, τῇ δὲ ἱστορίᾳ ἀλήθειαν. ὅσα μὲν οὖν ἐπὶ
fable-making to-the and history truth as-many-as indeed then in
τὸν χρόνον τοῦ αὐτοκράτορος Κωνσταντίνου υἱοῦ Λέοντος,
the time of-the emperor of-Constantine son of-Leo
ᾧ Πορφυρογέννητος ἡ ἐπίκλησις, ἐπισυμβέβηκε
to-whom Porphyrogennetos the surname have-befallen
πράγματα (οὗ καὶ γεννωμένου καὶ τελευτῶντος κομήτην
events of-whom both being-born and dying comet
λέγεται φανῆναι κατ᾽ οὐρανόν, τὴν ἐκείνου καὶ γέννησιν
is-said to-have-appeared in heaven the his both birth
προδηλοῦντα καὶ ἀποβίωσιν), παρήσειν μοι δοκῶ·
foreshowing and death to-pass-over to-me I-seem
ἀποχρώντως γὰρ ἄλλοις ἱστόρηται. τὰ δὲ τούτων
sufficiently for by-others it-has-been-recorded the(-things) but of-these
ἐχόμενα, καὶ ὅσα ὀφθαλμοῖς καὶ αὐτὸς τεθέαμαι (εἴπερ
following and as-many-as with-eyes also myself I-have-beheld if-indeed
ὀφθαλμοὶ ὦτων πιστότεροι, καθ᾽ Ἡρόδοτον), τὰ δὲ
eyes than-ears more-trustworthy according-to Herodotus the(-things) and
καὶ πρὸς τῶν ἰδόντων ἠκρίβωσα, ταῦτα καὶ δώσω γραφῇ.
also from those having-seen I-ascertained these-things also I-will-give to-writing

2 Ἄρτι κατὰ τὸν Νοέμβριον μῆνα, τῆς γ′ ἰνδίκτου, ἐν
just in the November month of-the 3 indiction in
τῷ ,ςυξζ′ ἔτει, τοῦ ῥηθέντος αὐτοκράτορος Κωνσταντίνου
the 6467 year the mentioned emperor Constantine
τὸν βίον μετηλλαχότος καὶ πρὸς τὴν ἐκεῖσε κατάπαυσιν
the life having-exchanged and to the there rest

ἀναλύσαντος, τὴν αὐτοκρατορίαν διέπειν ἀρχὴν
having-departed the imperial to-administer rule
Ῥωμανὸς ὁ ἐκείνου υἱὸς ἐγχειρίζεται, ἤδη τὴν τῶν
Romanos the his son is-entrusted-with already the of-the
μειρακίων παραλλάττων ἡλικίαν καὶ πρὸς ἄνδρα τὸν
youths passing age and to man the
τέλειον μετασκευαζόμενος· ἀνὴρ τἆλλα μὲν ἐπιεικής,
full being-changed a-man in-other-respects indeed fair
εὐπρόσωπός τε καὶ εὐόμιλος καὶ τὴν ὥραν ἀριπρεπής,
handsome both and affable and in-the bloom most-distinguished
καὶ παντοδαπῆς καλοκαγαθίας ἀνάπλεως, εὐμενής τε καὶ
and of-every-kind nobility full gracious both and
χρηστὸς πρὸς ἅπαν τὸ ὑπήκοον, ἐπτοημένος δὲ νεωτερικαῖς
kind to all the subject(-people) excited but by-youthful
ἡδυπαθείαις καὶ παιδιαῖς, τοὺς δὲ ἐρεθίζοντας πρὸς ταῦτα
luxuries and games those and inciting to these-things
κατὰ τὴν βασίλειον ἑστίαν, ὡς οὐκ ὤφελεν, ἐπαγόμενος.
in the imperial hearth as not he-ought drawing-in
τούτῳ τῷ αὐτοκράτορι Ῥωμανῷ εἰς ἔννοιαν ἦκε, τὴν τῶν
to-this the emperor Romanos into thought came the of-the
Ἀραβιτῶν Κρητῶν δυναστείαν, τραχηλιῶσαν καὶ κατὰ
Arab Cretans dominion swaggering and against
Ῥωμαίων φονικὸν πνέουσαν, τῇ τοῦ κρείττονος ῥοπῇ
Romans murderous breathing by-the of-the stronger inclination
ἐκποδὼν ποιήσασθαι. καὶ γὰρ τῷ ἐξ ὑπογυίου τοῖς
out-of-the-way to-make and for by-the from recently to-the
Ῥωμαίοις συμβεβηκότι ἀτυχήματι ἀμέτρως γαυρουμένη, τὰ
Romans having-befallen misfortune immoderately exulting the
παράκτια τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐληΐζετο μάλιστα.
coastal(-parts) of-the Roman dominion it-was-plundering most
ὅπως δὲ τὸ πταῖσμα Ῥωμαίοις συμβέβηκεν, ἐπιτροχάδην
how and the disaster to-Romans has-happened briefly

ἐρῶ. Κωνσταντῖνος ὁ αὐτοκράτωρ, μὴ στέγων τὴν τῶν
I-will-tell Constantine the emperor not bearing the of-the
Κρητῶν ὕβριν καὶ τὰς λαθραίους ἐπιδρομάς, στρατιὰν
Cretans insolence and the secret raids army
ἀξιόμαχον συνειλοχὼς καὶ τριήρεις ἐξαρτύσας πυρφόρους
fit-for-battle having-gathered and triremes having-equipped fire-bearing
μάλα συχνάς, κατὰ τῆς Κρήτης ἔστελλεν, ὡς αὐτοβοεὶ
very many against — Crete was-sending as at-the-first-shout
τὴν νῆσον αἱρήσων. ἀλλ᾽ ἀνανδρίᾳ καὶ ἀπειρίᾳ τοῦ
the island going-to-take but by-cowardice and inexperience of-the
στρατηγοῦ, τομίου θαλαμηπόλου τελοῦντος, καὶ ἀνδραρίου
general eunuch chamberlain being and of-a-manikin
σκιατραφοῦς ἐκ τῆς τῶν Παφλαγόνων ὡρμημένου
shade-reared from the of-the Paphlagonians originating
(Κωνσταντῖνος ὄνομα τούτῳ, Γογγύλης ἐπίκλησις), εἰ καὶ
Constantine name to-him Gongyles surname if even
τῷ τῶν Πατρικίων ἀριπρεπεῖ ἀξιώματι ἐσεμνύνετο,
with-the of-the Patrikioi most-distinguished dignity he-was-honored
ἅπασα ἡ λεχθεῖσα στρατιά, πλὴν ὀλίγων ἀνδρῶν,
all the said army except few men
κατεκόπη πρὸς τῶν βαρβάρων καὶ παραπώλετο.
was-cut-down by the barbarians and perished

3 Ταύτην τὴν ἧτταν ὁ αὐτοκράτωρ Ῥωμανὸς ἀνακαλέσασθαι
this the defeat the emperor Romanos to-recover
προθυμούμενος, Νικηφόρον τὸν Φωκᾶν, τοῖς μαγίστροις
being-eager Nikephoros — Phokas among-the magistroi
ἐνδιαπρέποντα καὶ τῶν τῆς Ἀνατολῆς στρατευμάτων
being-distinguished and of-the of-the East armies
κατάρχοντα (Δομέστικον τῶν σχολῶν Ῥωμαῖοι ἀρχὴν τὴν
commanding Domestic of-the scholae Romans office the
τοιαύτην ἐπιφημίζουσιν), ἄνδρα ῥέκτην τε καὶ δραστήριον,
such call a-man active both and energetic

ἀγαθόν τε τὰ πολεμικὰ καὶ τὴν ἰσχὺν ἀνυπόστατον,
good both in-the warlike(-things) and in-the strength irresistible
αὐτοκράτορα στρατηγὸν τῆς πρὸς τοὺς Κρῆτας μάχης
plenipotentiary general of-the against the Cretans battle
κεχειροτόνηκεν. οὗτος τοίνυν ὁ Νικηφόρος, τὴν τῆς Ἀσίας
appointed this-man therefore — Nikephoros the — of-Asia
στρατιὰν τῷ βασιλικῷ συνειλοχὼς κελεύσματι καὶ ναυσὶν
army by-the imperial having-gathered command and on-ships
ἐμβιβάσας, καὶ ταχυπλοήσας, πυρφόρους τε τριήρεις
having-embarked and having-sailed-swiftly fire-bearing and triremes
πλείστας ἐπαγόμενος (δρόμονας ταύτας Ῥωμαῖοι καλοῦσι),
very-many bringing dromons these Romans call
τῇ Κρήτῃ προσώρμισεν. ἐπεὶ δὲ τῆς ἀποβάσεως ἐδόκει
— to-Crete brought-to-anchor when and of-the landing it-seemed
καιρός, ἔδειξε πρακτικῶς, ἣν εἶχεν ἐμπειρίαν ἔργων
time he-showed practically which he-had experience of-works
πολεμικῶν. κλίμακας γὰρ ἐπὶ τῶν πορθμείων ἐπιφερόμενος,
warlike ladders for on the boats carrying
ταύτας ἐπὶ τὴν ἠϊόνα προσυφαπλῶν, τὴν στρατιὰν ἔνοπλόν
these on the shore unfolding-before the army armed
τε καὶ ἔφιππον ἀπὸ τῆς ὑγρᾶς ἐπὶ τὴν ξηρὰν μετεβίβαζε.
both and mounted from the wet to the dry he-transferred
τῷ δὲ καινῷ καὶ ἀλλοκότῳ τοῦ ὁράματος καταπλαγέντες
by-the and new and strange of-the sight astounded
οἱ βάρβαροι κατὰ χώραν ἔμενον ἰλαδόν, ἀδιάσπαστον
the barbarians in place remained in-a-mass unbroken
συντηροῦντες τὸν συνασπισμόν, καὶ τὴν τῶν Ῥωμαίων
keeping the close-order and the of-the Romans
ὡς αὐτοὺς ἄφιξιν προσδεχόμενοι. ὁ δὲ τῶν Ῥωμαίων
to them arrival awaiting the and of-the Romans
στρατηγὸς Νικηφόρος, τριχῇ τὴν φάλαγγα διατάξας,
general Nikephoros threefold the phalanx having-drawn-up

ἀσπίσι τε καὶ δόρασι ταύτην καταπυκνώσας, καὶ τὸ
with-shields both and with-spears it having-made-dense and the
ἐνυάλιον παιωνίσας, τὸ δὲ σταυρικὸν ἐγκελευσάμενος
war-cry having-sung the and of-the-cross having-ordered
προπορεύεσθαι τρόπαιον, ἀντιμέτωπος τοῖς βαρβάροις
to-go-before trophy facing the barbarians
ἐπῄει. δεινῆς δὲ μάχης ἀναῤῥαγείσης, καὶ δίκην
he-advanced dire and battle having-broken-out and in-the-manner
χαλάζης τῶν βελῶν καταφερομένων, οὐκ ἔμελλον
of-hail the missiles falling not they-were-going
ἐπὶ πολὺ διακαρτερεῖν οἱ βάρβαροι τὸν τῶν Ῥωμαίων
for long to-hold-out the barbarians the of-the Romans
δορατισμόν· ἀλλὰ τὰ νῶτα στρέψαντες καὶ τὴν φάλαγγα
spear-fighting but the backs having-turned and the phalanx
διαλύσαντες, ὡς εἶχον δρόμων, πρὸς τὸ σφῶν ἀπῄεσαν
having-broken as they-had at-a-run to the their-own went-off
ἔρυμα. οἱ δὲ Ῥωμαῖοι ἐφεπόμενοι, ἀμύθητον τούτων
stronghold the and Romans following-up indescribable of-them
φόνον εἰργάσαντο. τοιοῦτον μὲν ἡ πρώτη προσβολὴ καὶ
slaughter wrought such indeed the first assault and
διαμάχη πέρας αἴσιον τοῖς Ῥωμαίοις ἀπηνέγκατο. ἐπεὶ δέ,
fight end auspicious for-the Romans carried-off when and
ᾗπέρ μοι εἴρηται, τῷ σφετέρῳ τειχίσματι οἱ βάρβαροι
as by-me has-been-said in-the their-own fortification the barbarians
συνεκλείσθησαν, τὰς δυνάμεις συγκαλέσας ὁ στρατηγός,
were-shut-in the forces having-called-together the general
χάρακα πρὸ τοῦ ἄστεος ἐπήξατο τῶν Κρητῶν· τὰς δέ γε
a-palisade before the town fixed of-the Cretans the and at-least
τριήρεις καὶ τὰς λοιπὰς φορτίδας εἰς εὐλίμενον ἐπίνειον
triremes and the remaining cargo-ships into well-harbored roadstead
ἀθρόας ἐλλιμενίζειν διεκελεύσατο, θαλασσοκρατεῖν τε, καὶ εἴ
all-together to-anchor he-ordered to-rule-the-sea both and if

που βαρβαρικὸν ὁρῷεν πορθμεῖον ἔκπλουν ποιούμενον,
somewhere barbarian they-should-see boat sailing-out making
τοῦτό τε ἐκδιώκειν, καὶ τῷ ὑγρῷ πυρὶ ἐκτεφροῦν.
this both to-pursue and with-the liquid fire to-reduce-to-ashes
ταῦτα ἐς τὸ ἀκριβὲς βουλευσάμενός τε καὶ συμπεράνας,
these-things to the exact having-planned both and having-settled
σπεῖραν λογάδων ἀνδρῶν τῷ στρατηγῷ Νικηφόρῳ, ᾧ
a-company of-picked men to-the general Nikephoros to-whom
τὸ ἐπίκλην Παστιλᾶς, ἐγχειρίζει, ὃς γενναῖος ὢν πολλοὺς
the surname Pastilas he-entrusts who noble being many
ἀνέτλη πολέμους· καὶ πλειστάκις μὲν ἥλω πρὸς τῶν
endured wars and very-often indeed was-captured by the
Ἀγαρηνῶν, τοσαυτάκις δὲ ἐκεῖθεν διέδρα· καὶ πολλὰς οὐλὰς
Hagarenes as-often and from-there escaped and many scars
ἐκ τῶν κατὰ πόλεμον χαλκοτυπιῶν ἐπὶ τοῦ προσώπου
from the in war metal-blows on the face
καὶ τῶν στέρνων προὐβάλλετο. τότε δὲ στρατηγὸς
and the chest displayed then and general
τῶν Θρᾳκησίων τελῶν, τὴν σπεῖραν παρειληφώς, ἐπὶ
of-the Thrakesioi being the company having-taken-over on
καταδρομὴν καὶ κατασκοπὴν τῆς νήσου ἐστέλλετο, πολλὰ
a-raid and a-reconnaissance of-the island was-sent much
τοῦ Νικηφόρου Φωκᾶ ἐπισκήψαντος, γρηγορεῖν τε καὶ
— Nikephoros Phokas having-enjoined to-be-watchful both and
νήφειν, καὶ μὴ πρὸς ῥᾳστώνην καὶ τρυφὴν ἀπιδεῖν,
to-be-sober and not to ease and luxury to-look
ὡς μή τι ἀνήκεστον πρὸς τῶν ἐναντίων αὐτοῖς
so-that not something incurable by the opponents to-them
καττυθῇ· καταδραμόντας δὲ τὸν χῶρον καὶ γενναῖόν τι
be-contrived having-overrun and the place and noble something
δεδρακότας, ἐπὶ τὸ στρατόπεδον θᾶττον παλινοστεῖν.
having-done to the camp quicker to-return

4 Ἀλλὰ γὰρ οὐκ ἀκραιφνῆ τἀγαθὰ τοῖς ἀνθρώποις πέφυκε
but for not unmixed the-goods for-the men are-by-nature
παραμένειν ἀεί, ἀλλὰ τοῖς κακοῖς ἀναμέμικται· καὶ
to-remain always but with-the evils are-mixed and
παρέπεται τοῖς μὲν εὐτυχήμασι συμφοραί, ἀνῖαι δὲ ἡδοναῖς,
accompany the indeed successes misfortunes griefs and pleasures
μὴ ἐῶσαι καθαρᾶς τῆς δεδομένης εὐετηρίας ἀπόνασθαι.
not allowing pure the given prosperity to-enjoy
ὁποῖον δὴ καὶ τότε Ῥωμαίοις συμβέβηκεν. ἐπεὶ γὰρ τῇ
which-sort indeed also then to-Romans has-happened when for the
χώρᾳ προσέβαλον, καὶ τρυφὴν παντοδαπὴν εὗρον (εὐδαίμων
land they-reached and luxury of-every-kind found prosperous
γὰρ ἡ χώρα, καὶ ὡραίων καρπῶν καὶ χυμῶν ἰδέαις
for the land and of-ripe fruits and of-juices in-kinds
ἐπιεικῶς περιβρίθουσα, εὔβοτός τε καὶ εὔμηλος), δέον
fairly laden well-pastured both and rich-in-sheep it-being-needful
τὰς ἐπισκήψεις τοῦ στρατηγοῦ, ὡς τὸ εἰκός, διατηρεῖν,
the injunctions of-the general as the likely to-keep
οἱ δὲ παρὰ φαῦλον θέμενοι καὶ πολλὰ χαίρειν ταύταις
they but at naught having-set and much to-fare-well to-these
εἰπόντες, ἐπὶ ῥᾳστώνην ἀπέκλιναν καὶ τρυφήν. τούτων οἱ
having-said to ease turned-aside and luxury of-these the
βάρβαροι, τοῖς ἐπικαιροτάτοις καὶ ἀμφιλαφέσι τῶν ὀρῶν
barbarians in-the most-advantageous and thickly-wooded of-the mountains
ἐλλοχῶντες, τὸ ἀκόλαστον τεθεαμένοι καὶ ἀφύλακτον,
lying-in-ambush the licentiousness having-observed and unguardedness
τῶν δρυμῶν καὶ χηραμῶν ὑπεκδύντες καὶ ἐς φάλαγγα
from-the thickets and holes having-slipped-out and into phalanx
παραταξάμενοι καὶ συνασπίσαντες, κατ᾽ αὐτῶν ἐχώρουν.
having-drawn-up and having-locked-shields against them advanced
οἱ δέ, καίπερ ἀκροσφαλεῖς τῇ μέθῃ τελοῦντες
they but although tottering with-the drunkenness being

καὶ ἀκροχάλικες, ὅμως τοῖς βαρβάροις ἀντεπῄεσαν
and half-drunk nevertheless the barbarians went-against
καὶ ῥωμαλέως ἀντικαθίσταντο. ἄρτι δὲ τοῦ στρατηγοῦ
and stoutly withstood just and the general
Παστιλᾶ εὐρώστως διαγωνιζομένου, καὶ τὴν τῶν βαρβάρων
Pastilas vigorously fighting-it-out and the of-the barbarians
διακόπτοντος φάλαγγα, ὁ ἵππος, εἰς ὃν ἐπωχεῖτο, βέλεσι
cutting-through phalanx the horse on which he-rode with-missiles
καὶ δορατίοις τὰ στέρνα τυπείς, ὀκλάσας διαπεφωνήκει.
and javelins in-the chest struck having-sunk-down died
ὁ δὲ Παστιλᾶς εὐπετῶς τοῦ ἵππου ἀναθορών, μέχρι
— *and Pastilas nimbly from-the horse having-leapt-up as-far*
μέν τινος τῷ φασγάνῳ τοὺς ἐπιόντας ἠμύνετο, καὶ
indeed some(-time) with-the sword those attacking warded-off and
πολὺν τῶν βαρβάρων φόνον εἰργάσατο. Ἐπεὶ δὲ ἔξαιμός
much of-the barbarians slaughter wrought when and bloodless
τε καὶ καταβελὴς ἐγεγόνει, λειποθυμήσας παρὰ τὸ
both and pierced-with-arrows he-had-become having-fainted by the
μεταίχμιον ἔπεσε. τούτου πεσόντος εἰς φυγὴν οἱ Ῥωμαῖοι
no-man's-land fell this-one having-fallen into flight the Romans
ἀπέκλιναν, καὶ πρὸς τῶν βαρβάρων δίκην βοσκημάτων
turned and by the barbarians in-the-manner of-cattle
ἐναπεσφάττοντο, ὡς ἐκ τῆς εἰρημένης σπείρας ὀλιγοστοὺς
were-slaughtered so-that from the mentioned company very-few
ἀνασεσῶσθαι εἰς τὸ στρατόπεδον. τοῦτο τὸ πάθος ὁ
to-have-escaped into the camp this the disaster —
Νικηφόρος Φωκᾶς αἰσθόμενος καὶ πολλὰ τῆς ἀβουλίας
Nikephoros Phokas having-perceived and much for-the folly
καὶ ῥᾳθυμίας τοὺς πεσόντας μεμψάμενος, ἔτι τε τὸ
and indolence the fallen having-blamed further and the
παλίντροπον κατευλαβηθεὶς τῆς τύχης καὶ ἄστατον, ἔγνω
changeable having-feared of-the fortune and unstable he-resolved

μηκέτι διαμέλλειν καὶ τὸν καιρὸν κατατρίβειν, κἀντεῦθεν
no-longer to-delay and the time to-waste and-thence
ἄδειαν ἐνιέναι τοῖς βαρβάροις, ἐνέδρας καὶ λόχους τίθεσθαι,
license to-give to-the barbarians ambushes and snares to-set
καὶ εἰς φάλαγγα συστάδην ἀντικαθίστασθαι· ἀλλὰ παντὶ
and into phalanx in-close-fight to-stand-against but with-all
σθένει καὶ πάσαις μηχαναῖς διανύτειν τὸν πόλεμον.
strength and all devices to-carry-through the war

II · THE SIEGE

Nikephoros walls off the Cretans' town from the land and exhorts his officers against the barbarians, recalling Pastilas' fall. By night he surrounds a hill where forty thousand Arabs are gathering and destroys them; the heads are carried back in bags, impaled before the walls, and slung into the town, where the Cretans wail but will not yield. A day's assault meets desperate resistance, and Nikephoros resolves to starve the town while siege engines are built, wintering before it and drilling his army.

5 Οὕτω διαλύοντι τούτῳ καὶ γνωματεύοντι (ἦν γὰρ
thus deliberating to-this-man and judging he-was for
ἀγχίνους τε καὶ δραστήριος, ἐννοῆσαί τε τὸ ξυνοῖσον
shrewd both and energetic to-conceive both the advantageous
καὶ εἰς πέρας ἀγαγεῖν πάντων, ὧν ἴσμεν, ἐπηβολώτατος,
and to end to-bring of-all whom we-know most-successful
σώφρων τε καὶ μὴ εἴκων ἡδοναῖς· καὶ προσέτι δεινὸς
prudent both and not yielding to-pleasures and besides clever
τοὺς καιροὺς καὶ τὰ πράγματα εἰς δέον μεταχειρίσασθαι,
the occasions and the affairs to need to-handle
τὴν μέντοι ἰσχὺν καὶ ῥώμην ἀκαταγώνιστος· λέγεται
in-the however strength and might invincible it-is-said

γὰρ πρωταγωνιστοῦ τινος τῶν ἀλκιμωτάτων βαρβάρων
for champion a-certain of-the most-valiant barbarians
ἀντικαταστάντος αὐτῷ ποτε, τὸ δόρυ κατὰ τῶν στέρνων
having-stood-against him once the spear against the chest
τὸν Νικηφόρον ἰθύναντα καὶ ἀμφοτέραις ὡσάμενον, οὕτω
— Nikephoros having-aimed and with-both(-hands) having-thrust so
γενέσθαι σφοδρὰν τὴν ἀντέρεισιν, ὡς καὶ διαμπερὲς
to-have-become violent the counter-thrust that also right-through
τὸ δόρυ διελθεῖν, καὶ ἄμφω διατεμεῖν τὰ μέρη τοῦ
the spear to-have-passed and both to-have-cut the parts of-the
θώρακος), ἔννοια γοῦν ἐπῆλθεν αὐτῷ, κύκλῳ τὸ ἄστυ
breastplate thought at-any-rate came to-him round the town
περιελθεῖν καὶ ἐς τὸ ἀκριβὲς τοῦτο κατασκοπῆσαι, ἵνα
to-go-around and to the exact this to-reconnoitre so-that
ὅποι παρείκοι προσαγάγῃ τὸν πόλεμον. περιελθὼν
wherever it-might-allow he-might-bring-up the war having-gone-around
οὖν καὶ τὴν ἄλλως δυσέμβολον πεφυκὸς ἰδὼν καὶ
then and the otherwise hard-to-attack being-by-nature having-seen and
δυσπρόσοδον· ἐκ τοῦ θατέρου μὲν γὰρ πλευροῦ τὴν
hard-of-access from the one indeed for side the
θάλατταν εἶχε φρουρὰν ἀσφαλῆ, κατὰ θάτερον δὲ ἐπ᾽
sea it-had guard secure on the-other and on
ἀγχωμάλου καὶ ἰσοπέδου λίθου ἠρήρειστο, ἐφ᾽ ᾗ τὰ γεῖσα
level and even-surfaced stone it-was-founded on which the cornices
τεθεμελίωτο, τό τε δόμημα καινόν τι προὐβάλλετο καὶ
had-been-founded the and structure new something displayed and
ἀλλόκοτον· ἐκ χοὸς γὰρ καὶ τριχῶν αἰγείων καὶ ὑείων
strange from earth for and hairs of-goats and of-swine
συντεθειμένων καὶ ἐπιεικῶς συμπεπιλημένων ᾠκοδόμητο·
put-together and fairly pressed-together it-had-been-built
εὖρός τε τοσοῦτον ἔφερεν, ὅσον ἁμάξας δύο εὐπετῶς
breadth and so-much it-bore as wagons two easily

ἔχειν κατὰ τῶν ἐπάλξεων ἐναλλὰξ διοδεύειν περίδρομον,
to-be-able along the battlements crosswise to-pass round
ἐς ὕψος τε ἀποχρώντως ἦρτο· καὶ προσέτι ταφρεῖαι
to height and sufficiently it-had-been-raised and besides ditches
δύο ἐς εὖρος ὅτι μάλιστα καὶ βάθος ἱκνούμεναι πέριξ αὐτοῦ
two to breadth as most and depth reaching round it
ὠρωρύχατο. τοῦτο ἐχυρόν, ᾗπερ εἴρηται, καὶ δυσάλωτον
had-been-dug this strong as has-been-said and hard-to-take
ἀτεχνῶς καταμαθών, τοιοῦτόν τι ἀντιτεχνάζεται. ἀπὸ
simply having-learned such something be-counter-contrives from
τῆς πρὸς νότον τετραμμένης ῥηγμῖνος ἀρξάμενος οἰκοδομεῖν
the toward south turned surf-line having-begun to-build
μέχρι τῆς ἐπὶ θάτερα ἠϊόνος, τὸ διῆκον τῆς χέρσου
as-far-as the on other-side shore the stretch of-the dry-land
ἑρκίῳ διατειχίζει, καὶ πρὸς πόντον τὸ τῶν Κρητῶν
with-a-fence he-walls-across and toward sea the of-the Cretans
ἄστυ καθείργνυσιν, ὡς μὴ ἔχοιεν εὐπετῶς τῇ χέρσῳ
town he-shuts-in so-that not they-might-have easily to-the dry-land
προσεπιβαίνειν οἱ βάρβαροι, ὅτε καὶ βούλοιντο, ἐπ᾽ αὐτῷ δὲ
to-go-onto the barbarians when even they-should-wish with him and
κεῖσθαι, πολεμητέα εἶναι, καὶ μή, ὁπότε καὶ τοῦτο δοκεῖ. τὸ
to-lie to-be-fought to-be and not whenever also this seems the
τοιοῦτον δὴ τειχίον θᾶττον συμπεράνας ὁ Νικηφόρος, ἐφ᾽
such indeed little-wall quickly having-completed — Nikephoros to
ἕτερον ἠπείγετο τρόπαιον, ὅπερ ὁ λόγος αὐτίκα δηλώσει.
another was-hastening trophy which the account presently will-show
παρὰ τὴν στρατήγιον σκηνὴν τοὺς ἐν τέλει συγκαλεσάμενος,
beside the general's tent those in office having-called-together
καὶ γεγωνοτέρᾳ χρησάμενος τῇ φωνῇ, ἔλεξε τοιάδε·
and louder having-used the voice spoke such-things

“Τὸ μὲν ὠμὸν καὶ θηριῶδες τῶν τῆς παιδίσκης ἐκγόνων, 6
the indeed cruel and bestial of-the of-the bondmaid offspring
τήν τε τούτων καταδρομὴν καὶ τὸν ἀνδραποδισμόν,
the both their raiding and the enslavement
ὅσα φονιωδῶς Ῥωμαίοις εἰργάσαντο (καὶ ταῦτα
as-many-as murderously to-Romans they-wrought and that
νῆσον παροικοῦντες τὴν ὑπ᾽ αὐτοῖς τεταγμένην, εἰ καὶ
an-island inhabiting the under them placed if even
μοχθηρίᾳ τύχης παρὰ τοῖς Ἀγαρηνοῖς ἐγεγόνει),
by-wickedness of-fortune in-the-hands-of the Hagarenes it-had-become
οἶομαι μηδένα λήσειν ὑμῶν. ἦ γὰρ οὐκ ἀνοίκητος μὲν
I-think no-one to-escape of-you truly for not uninhabited indeed
ἡ παράλιος πᾶσα σχεδὸν ἐκ τῆς τούτων ἀπαγωγῆς;
the coast all almost from the their carrying-off
οὐκ ἔρημοι δὲ τῶν νήσων αἱ πλείους τῇ τούτων
not desolate and of-the islands the most by-the their
καταδρομῇ; δι᾽ ἃ οὐκ ἠνέσχετο πάντως ἡ
raiding because-of which-things not endured altogether the
πρόνοια μέχρι καὶ τοῦ παντός, τοὺς ψεύστας, τὰ θηρία
providence as-far even of-the all the liars the beasts
τὰ κάκιστα, τὰς ἀργὰς γαστέρας, καταθοινεῖσθαι λαὸν
the most-evil the idle bellies to-feast-upon people
τὸν Χριστώνυμον· ἀλλὰ τῇ τοῦ κρατοῦντος ῥοπῇ ἡμᾶς
the Christ-named but by-the of-the ruling(-one) inclination us
ἐνταῦθα διεπεραιώσατο, ἑπταπλασίως αὐτοῖς ἀποδοῦναι τὸ
here brought-across sevenfold to-them to-render the
ἀνταπόδομα, ὃ ἀνηλεῶς ἡμῖν ἀνταπέδωκαν. τεκμήριον
requital which pitilessly to-us they-requited proof
δὲ τῶν λεγομένων ἡ προβᾶσα νίκη. ἄρτι γὰρ διαπόντιοι
and of-the things-said the past victory just for overseas
σχεδὸν τελοῦντες, καὶ μηδὲ τὴν ἐκ θαλάττης ναυτίαν
almost being and not-even the from sea sickness

ὁλοσχερῶς ἀποπτύσαντες, ἅμα τῷ ἐπιβῆναι τῆς νήσου
entirely having-spat-out at-once with-the to-set-foot on-the island
τῇ τοῦ κρείττονος ἀρωγῇ μαχαίρας ἔργον πλείστους τῶν
with-the of-the stronger aid of-the-sword work very-many of-the
βαρβάρων ἐθέμεθα· τοὺς δὲ περιλειφθέντας αὐτῶν ἀπονητὶ
barbarians we-made those and left of-them without-toil
τῷ ἄστει περιεκλείσαμεν. ἐκλιπαρῶ οὖν, συστρατιῶται,
in-the town we-shut-in I-entreat then fellow-soldiers
μὴ πρὸς ῥᾳστώνην ὑμᾶς ἀπιδεῖν καὶ τρυφήν· ἐξ ὑπογυίου
not to ease you to-look and luxury from recently
γὰρ ἡμῖν τοῦ πτώματος τὸ παράδειγμα. εἰ γὰρ τὰς ἐμὰς
for for-us of-the fall the example if for the my
ἐπισκήψεις σὺν τῷ Παστιλᾷ Νικηφόρῳ οἱ προκατασκοπεῖν
injunctions with — Pastilas Nikephoros those to-reconnoitre
σταλέντες τῆς χώρας ἐφύλαξαν, καὶ μὴ ἐς τρυφὴν καὶ
sent of-the land had-kept and not into luxury and
τὴν ἄλλην ἀπέκλιναν ἡδονήν, οὐκ ἂν τοιαύτῃ πανολεθρίᾳ
the other had-turned-aside pleasure not — in-such utter-ruin
ἀπώλοντο. νῦν δέ, τούτων ἀλογήσαντες, τῆς σφῶν
they-would-have-perished now but these having-disregarded of-the their-own
ἀβελτηρίας ἠνέγκαντο ἐπίχειρα. δεῖ οὖν τὸ τῶν
stupidity they-carried-off wages it-is-needful then the of-the
ἑταίρων πτῶμα εὐλαβηθέντας νήφειν τε καὶ προσέχειν,
comrades fall having-heeded to-be-sober both and to-attend
καὶ ὅλῃ σπουδῇ καὶ ῥώμῃ ἐξερευνῆσαι καὶ ἀνιχνεῦσαι
and with-whole zeal and strength to-search-out and to-track-down
τὰ ἐλλοχῶντα τῇδε βάρβαρα θηρία, καὶ τῶν χηραμῶν
the lurking here barbarian beasts and from-the holes
καὶ φωλεῶν ἐξερύσαντας ἀπωλείᾳ παραπέμψασθαι. μὴ
and dens having-dragged-out to-destruction to-dispatch not
οὖν νωθείᾳ καὶ μέθῃ προϊστάμεθα τὸν καιρόν, ἀλλὰ
then by-sluggishness and drunkenness let-us-throw-away the occasion but

Ῥωμαῖοι τελοῦντες τὸ νεανικὸν καὶ γενναῖον τῆς ἡμῶν
Romans being the youthful and noble of-the our
εὐγενείας παράστημα ἐν τοῖς ἀγῶσιν ἐπιδειξόμεθα.”
nobility spirit in the contests we-shall-display
Εἶπεν ὁ στρατηγός, καὶ δῆτα τὸ στράτευμα ἀνεθάῤῥησέ τε, 7
spoke the general and indeed the army took-heart both
καὶ ἐπεκρότησε, καὶ τῶν κουλεῶν τὰ ξίφη σπασάμενον,
and applauded and from-the scabbards the swords having-drawn
αὐθόρμητον ἦν ἕπεσθαι τούτῳ, καὶ πειθαρχεῖν, ὅποι καὶ
of-its-own-accord it-was to-follow him and to-obey wherever also
βούλοιτο. ὁ δὲ ἀτρεμεῖν τέως καὶ ἠρεμεῖν διεκέλευεν, ἕως
he-might-wish he but to-keep-still meanwhile and to-be-quiet ordered until
ἂν αὐτὸς ἐπισκήψῃ ἔργου ἔχεσθαι, ὁπηνίκα καὶ δεῖ.
— he-himself should-enjoin the-work to-take-up when also it-is-needful
ἄρτι δὲ τῶν νυκτῶν ἀωρὶ τὸ νεανικὸν καὶ ἀκμαῖον
just and of-the nights untimely the youthful and vigorous
διακριδὸν τοῦ στρατοῦ προσεταιρισάμενος, ἡσυχῇ ὑπεξῄει
selectively of-the army having-taken-as-companions quietly he-went-out
τοῦ χάρακος, ὡς μὴ αἴσθοιντο τὴν τούτων οἱ βάρβαροι
from-the palisade so-that not should-perceive the their the barbarians
ἄπαρσιν, καὶ δεινόν τι τῇ καταλειφθείσῃ στρατιᾷ
departure and dire something against-the left-behind army
σκαιωρήσοιντο. ἐξελθὼν δὲ τοῦ χάρακος, καὶ μέρος
should-contrive having-gone-out and from-the palisade and part
τῆς χώρας καταδραμών, ἐπεὶ πρὸς τῶν ἐζωγρημένων
of-the land having-overrun when from the captured
ἀνέμαθεν, ἐπί τι γεώλοφον στρατιὰν βαρβάρων ὡσεὶ
he-learned on a-certain hill army of-barbarians about
μυριάδων τεττάρων ἀθροίζεσθαι, ὡς ἂν ἐξ ἐφόδου
of-myriads four to-be-gathering so-that — from attack
ἀπροόπτως τοῖς Ῥωμαίοις ἐπέλθῃ, καὶ τῆς τε νήσου
unforeseen on-the Romans it-might-come and from-the both island

τούτους ἀπελάσῃ, καὶ τοὺς σφετέρους τῆς τοῦ ἄστεος
them might-drive and the their-own from-the of-the town
ἀπαλλάξῃ καθείρξεως. τούτων ἀκηκοὼς ὁ στρατηγὸς
might-free shutting-in these-things having-heard the general
καὶ τὸν ἑφεπόμενον τῶν λογάδων στρατὸν πανημέριον
and the following of-the picked army all-day
διαναπαύσας, πρὸς ἑσπέραν βαθεῖαν ἀπάρας καὶ ἡγεμόνας
having-rested toward evening deep having-set-out and guides
τῶν τόπων ἰθαγενεῖς ἄνδρας ἀνειληφώς, ἐπεὶ καὶ τὸ
of-the places native men having-taken since also the
σεληναῖον φῶς ὑπέλαμπε, πεπληρωμένης τῆς μήνης οὔσης,
of-the-moon light shone-beneath full the moon being
συντείνων ἔσπευδε, μηδὲν τάχους ἀνιείς· καὶ δὴ κυκλόθεν
straining he-hastened nothing of-speed relaxing and indeed all-around
τὸν γεώλοφον περιεστοίχισεν, ἵνα βαθὺν οἱ βάρβαροι
the hill he-surrounded where deep the barbarians
ὕπνον ἐκάθευδον. κἄπειτα τὰς σάλπιγγας ἐπηχῆσαι καὶ τὰ
sleep slept and-then the trumpets to-sound and the
τύμπανα παταγῆσαι ἐγκελευσάμενος, διὰ τοῦ γεωλόφου
drums to-beat having-ordered through the hill
ἐχώρει. οἱ δὲ βάρβαροι, τὸν ψόφον τῶν ὅπλων αἰσθόμενοι,
he-advanced the and barbarians the clash of-the arms having-perceived
ψιλοὶ καὶ ἀπαράσκευοι ὄντες, καὶ τῷ ἀπροόπτῳ τῆς
unarmed and unprepared being and by-the unforeseen of-the
ἐφόδου καταπλαγέντες, εἰς φυγαδείαν ἀπέκλιναν. ἀλλ᾽
attack astounded into flight turned but
οὐκ ἦν ἀπαλλάξαι, τῆς ὑπωρείας ἁπάσης κατεχομένης
not it-was to-get-away the foothills all being-held
τῇ Ῥωμαϊκῇ φάλαγγι. ἀκονιτὶ οὖν ἐν μικρᾷ χρόνου
by-the Roman phalanx without-dust then in small of-time
ῥοπῇ τὸ τῶν τεττάρων μυριάδων τῶν βαρβάρων ἡβηδὸν
moment the of-the four myriads of-the barbarians to-a-man

παραπώλετο πλῆθος, ἔργον γεγονὸς αἰχμῆς Ῥωμαϊκῆς. ἀλλὰ
perished multitude work become of-spear Roman but
τῷ τοιούτῳ καινῷ τροπαίῳ ἕτερον ὁ στρατηγὸς ἐξήρτυε
to-the such new trophy another the general prepared
τρόπαιον. τοῦ γὰρ πεσόντος πλήθους τὰς κάρας ἐκτεμεῖν
trophy of-the for fallen multitude the heads to-cut-off
διωρίσατο, καὶ ταύτας ταῖς πήραις ἐνθέντας μετακομίσαι
he-ordered and these in-the bags having-put to-carry
πρὸς τὸ στρατόπεδον· μισθὸν δὲ τῷ κάραν κομίζοντι
to the camp pay and to-the(-one) a-head bringing
δίδοσθαι διεβεβαιοῦτο ἀργύριον. τοῦτο τὸ δόγμα ἀσμένως
to-be-given he-assured silver this the decree gladly
δεξάμενος ὁ στρατός, καὶ μάλιστα τὸ τῶν Ἀρμενίων στίφος,
having-received the army and most the of-the Armenians band
τὰ βαρβαρικὰ ἐναπέτεμε κάρηνα καὶ ταῖς πήραις ἀπέθεντο.
the barbarian cut-off heads and in-the bags put-away
ἐννύχιόν τε ὁ στρατηγὸς ἀφίκετο κατὰ τὸ στρατόπεδον.
by-night and the general arrived at the camp
Τῇ δ' ὑστεραίᾳ ἄρτι τοῦ φωσφόρου τὸν ὁρίζοντα 8
on-the and next-day just the light-bringer the horizon
παραμείβοντος καὶ πρὸς τὴν τοῦ πόλου μεταβαίνοντος
passing and to the of-the vault going-on
ἄντυγα, ἐπὶ τῶν δοράτων περιπείρειν τὰς τῶν βαρβάρων
rim on the spears to-impale the of-the barbarians
κάρας προσέταττεν, ἐπιστίχως τε παρὰ τὸ τειχίον, ὃ
heads he-ordered in-rows and along the little-wall which
αὐτὸς ἐδείματο, καταπηγνύειν αὐτά· τὰς δὲ καὶ διὰ
he-himself had-built to-fix them some and also by
τῶν πετροβόλων ὀργάνων ἐπὶ τῷ ἄστει ἐκσφενδονᾶν.
the stone-throwing engines on the town to-sling
τοὺς δὲ Κρῆτας, τὴν ἐπίστιχον τῶν δοράτων τάξιν καὶ
the and Cretans the in-rows of-the spears line and

τὰς ἐπ᾽ αὐτῶν ἐμπεπαρμένας κάρας ἀθρήσαντας, τὰς
the on them impaled heads having-beheld those
δὲ κατὰ τὸ ἄστυ ἐκσφενδονωμένας καὶ ταῖς ἐπάλξεσι
and against the town slung and against-the battlements
προσαρασσομένας τοῦ ἄστεος, καὶ ταύτας τῶν ὁμοεθνῶν
dashing of-the town and these of-the kinsmen
καὶ συγγενῶν εἶναι ἀκριβῶς ἐπιφρασαμένους, φρίκη μὲν
and relatives to-be exactly having-perceived shuddering indeed
ἐκ τοῦ εὐθέος καὶ ἀλλοίωσις ᾕρει φρενῶν, καὶ παρὰ
from the straight(-way) and alteration seized of-minds and at
τὴν οἰκτρὰν καὶ ἀπροσδόκητον ὄψιν ἐπεπήγεσαν. ἐντεῦθεν
the pitiable and unexpected sight they-stood-fixed thence
ἀνδρῶν οἰμωγαί, καὶ κωκυτὸς τῶν γυναίων ἠκούετο,
of-men wailings and sbrieking of-the women was-heard
καὶ σχῆμα τὸ ἄστυ κατεῖχεν ἁλώσεως, ὀλοφυρομένων
and appearance the town held of-capture lamenting
ἁπάντων καὶ ἀποκλαιομένων τὰ φίλτατα. ἀλλὰ καὶ ὡς
all and bewailing the dearest(-ones) but even so
οὐκ ἔμελλεν αὖθις Ῥωμαίοις εἶξαι καὶ σπείσασθαι· τῷ
not it-was-going again to-Romans to-yield and to-make-terms in-the
ἐρυμνῷ δὲ πίσυνοι τοῦ σφετέρου πτολίσματος, παρέθηγόν
strength but trusting of-the their-own town they-whetted
τε τὰς προθυμίας, καὶ καθωπλισμένοι τὴν τῶν Ῥωμαίων
both the zeal and fully-armed the of-the Romans
παρετηροῦντο ῥοπήν, ἵν᾽, εἴ τις ἐπήει, ἀμύνοιντο.
watched onset so-that if anyone attacked they-might-ward-off
ὁ δὲ στρατηγός, τῇ σάλπιγγι σημήνας τὸν πόλεμον,
the and general with-the trumpet having-signaled the war
ἐῤῥωμενέστερόν τε διακινδυνεύειν ἐγκελευσάμενος, τῷ τείχει
more-vigorously and to-hazard having-ordered to-the wall
προσῆγε τὸ στράτευμα. καὶ δῆτα τῆς μάχης ἀναῤῥαγείσης
led-up the army and indeed the battle having-broken-out

ἦν ὁρᾷν ἔργα χειρῶν καὶ τόλμης γιγνόμενα ἔμπλεα,
it-was to-see deeds of-hands and of-daring happening full
πολλαχῇ τῶν δοράτων ἀκοντιζομένων, καὶ τῶν βελῶν
in-many-ways the spears being-hurled and the missiles
δίκην χειμερίων νιφάδων ἐκπεμπομένων, καὶ θαμινὰ τῶν
in-the-manner of-wintry snowflakes being-sent-out and thickly the
λίθων τῶν πετροβόλων ὀργάνων ἀφιεμένων, καὶ ταῖς
stones of-the stone-throwing engines being-let-fly and against-the
ἐπάλξεσι προσαρασσομένων. οἱ δὲ βάρβαροι καὶ αὐτοὶ
battlements dashing the but barbarians also themselves
τῆς ἀνάγκης κατεπειγούσης ῥωμαλέως ἀντηγωνίζοντο, ἐκ
the necessity pressing stoutly fought-back from
τοῦ τείχους τε ἀμυνόμενοι καὶ ἀντιτοξεύοντες, καὶ πελέκεις
the wall both defending and shooting-back and axes
ἄνωθεν ῥιπτοῦντες, καὶ ταλαντιαίους λίθους ἐπαφιέντες·
from-above hurling and talent-weight stones letting-fly
καὶ οὐδὲν ὅ τι παρεῖτο τούτοις τῶν εἰς τὸ πολεμεῖν
and nothing what — was-neglected by-them of-the for the fighting
ἀμυντηρίων, καὶ οὐχ ἧττον ἀντέδρων, ὧν ἔπασχον.
defenses and not less they-did-in-return than-what they-suffered
ὁ γὰρ προφανὴς κίνδυνος καὶ ἡ τῆς σωτηρίας ἀπόγνωσις
the for manifest danger and the of-the safety despair
παρεκρότει τούτους ὑπὲρ δύναμιν ἀγωνίζεσθαι, καὶ τοῖς
urged them beyond strength to-fight and the
δυσμενέσι παραβόλως ἀντικαθίστασθαι.
enemies recklessly to-withstand
Νικηφόρος δέ, ὁ τῶν Ῥωμαίων στρατηγός, ἐπεὶ καὶ τὸν 9
Nikephoros and the of-the Romans general since also the
περίβολον τοῦ ἄστεος ἐχυρόν τε ἀτεχνῶς ἑώρα, καὶ τὴν
circuit-wall of-the town strong both simply he-saw and the
ἄλλως δυσέμβολον καὶ ἀνάλωτον (οὐ γὰρ ἐξ ἐπιδρομῆς
otherwise hard-to-attack and impregnable not for from assault

εὐεπίβατος ἦν, εἰς ὕψος ὅτι πλεῖστον ἠρμένος, καὶ δυσὶ
easy-to-mount it-was to height as most raised and with-two
ταφρείαις διεζωσμένος εἰς βάθος ὀρωρυγμέναις ἀνάλογον),
ditches girded to depth dug proportionately
καὶ τὴν τῶν βαρβάρων ἀπόγνωσιν καὶ ἀντίστασιν τὸ μέτρον
and the of-the barbarians despair and resistance the measure
ἐκβαίνουσαν· ἔγνω, μὴ θανατῶσι καὶ ἀπονενοημένοις
exceeding he-resolved not with-courting-death and desperate
ἀνδράσι συμπλέκεσθαι κάτωθεν, καὶ ἀνηνύτοις ἐπιχειρεῖν,
men to-grapple from-below and impossible(-things) to-attempt
ὑψόθεν τε βάλλεσθαι, καὶ τὴν Ῥωμαϊκὴν ἐς οὐδὲν δέον
from-above both to-be-struck and the Roman to no need
διαφθείρειν παράταξιν· τῷ δὲ λιμῷ παραδώσειν τὸ
to-destroy array to-the and famine to-hand-over the
ἄστυ, ἕως ἂν τὰς ἑλεπόλεις καὶ ὅσα εἰς τειχομαχίαν
town until — the siege-engines and as-many-as for wall-fighting
ἐξεύρηται ὄργανα δεόντως ἐπισκευάσοιτο. ταύτῃ τοι
are-devised engines fittingly he-should-prepare thus indeed
καὶ τὸν πόλεμον ἀναβάλλεται, καὶ τῇ σάλπιγγι τὰς
also the war he-postpones and with-the trumpet the
στρατιωτικὰς ἀνακαλεσάμενος φάλαγγας, ἐς τὸν χάρακα
military having-recalled phalanxes to the palisade
ἀπεφοίτα. καὶ τοῦτον κυκλόθεν ἑρκίῳ καὶ ταφρείᾳ
withdrew and this all-around with-a-fence and ditch
ἱκανῶς ὀχυρώσας, τόν τε στρατὸν διεγύμναζε, καὶ ταῖς
sufficiently having-fortified the both army he-exercised and by-the
καθ' ἡμέραν μελέταις πολλὴν τὴν ἐμπειρίαν ταῖς φάλαγξιν
per day practices much the experience for-the phalanxes
ἀπετίθετο, καὶ τὰς ἑλεπόλεις ἐκλογῇ τεχνιτῶν ἐτεκταίνετο,
stored-up and the siege-engines by-selection of-craftsmen was-building

ἐκδρομάς τε καὶ ἀκροβολισμοὺς ἐκ τοῦ παρείκοντος
sallies both and skirmishes from the opportunity
ἐποιεῖτο, καὶ αὐτόθι πανσυδὶ πρὸ τοῦ ἄστεος διεχείμαζεν.
he-made and there in-full-force before the town wintered

BOOK II

III · LEO PHOKAS AGAINST CHAMBDAS

While Nikephoros winters in Crete, Chambdas, leader of the Arabs beside Cilicia, raids Roman Asia. Romanos sends Nikephoros' brother Leo, Domestic of the West, who has just destroyed an army of Huns from beyond the Ister. With a small force Leo will not fight in the open; he exhorts his men to wait in ambush in the mountain passes. When the Arabs, laden with booty, crowd into a defile, he falls on them. Chambdas escapes only by scattering his gold on the path, and Leo returns to triumph in Constantinople.

Ὁ μὲν δὴ τῶν Ῥωμαίων στρατηγὸς Νικηφόρος ἐς τὴν 1
the indeed truly of-the Romans general Nikephoros into the
τῶν Κρητῶν νῆσον, ᾗπέρ μοι εἴρηται, ἤδη τὴν Ῥωμαϊκὴν
of-the Cretans island as by-me has-been-said already the Roman
περαιωσάμενος δύναμιν, καὶ τῶν ἰθαγενῶν βαρβάρων
having-carried-across force and of-the native barbarians
ἐν τῇ συστάδην μάχῃ τοὺς μὲν παρανάλωμα μαχαίρας
in the close-quarters battle some indeed spoil of-the-sword
ἀπεργασάμενος, τοὺς δὲ περιλειφθέντας ἀπονητί τε καὶ
having-made the and left without-toil both and
ἀκαρῆ τῷ ἄστει συγκλείσας, αὐτόθι τε διεχείμαζε, καὶ
in-a-moment in-the town having-shut-in there both he-wintered and
τὸν στρατὸν ὁσημέραι τῷ πολεμεῖν ἐξεπαίδευεν. ἐν τούτῳ
the army daily in-the to-fight trained in this
δὲ Χαμβδᾶν, ὁ τῶν τῆς Κιλικίας προσοίκων Ἀγαρηνῶν
and Chambdas the of-the — of-Cilicia neighboring Hagarenes

ἀρχηγός, ἀνὴρ ἀγχίνους τε καὶ δραστήριος, ἐμπειρίᾳ
leader a-man shrewd both and energetic in-experience
τε πολέμων ἐκ νεότητος ἁπάντων τῶν ὁμοεθνῶν
both of-wars from youth all the fellow-tribesmen
ἀδηρίτως ὑπερτερῶν, ἐπεὶ τὰς Ῥωμαϊκὰς ᾔσθετο δυνάμεις
indisputably surpassing when the Roman he-perceived forces
ἔκπλουν καὶ ἄπαρσιν ποιουμένας κατὰ τῶν Κρητῶν,
sailing-out and departure making against the Cretans
ἔγνω πρὸς αὑτοῦ τὸν καιρὸν εἶναι, ἀδεῶς τε τῆς
he-judged for himself the occasion to-be fearlessly both the
ἀνατολῆς καταδραμεῖν, ὁπόσον ἡ Ῥωμαϊκὴ διέπει ἀρχή,
east to-overrun as-much-as the Roman administers rule
καὶ τοῦτο ληΐσασθαι ἀναιμωτί, καὶ πλοῦτον συναγεῖραι
and this to-plunder without-bloodshed and wealth to-gather
πλεῖστον, καὶ κλέος ἀείμνηστον ἀπενέγκασθαι. καὶ δῆτα
very-much and fame ever-memorable to-carry-off and indeed
τὸ ἀκμαῖον καὶ νεανικὸν τῶν Ἀράβων καὶ Ἀγαρηνῶν
the vigorous and youthful of-the Arabs and Hagarenes
συναλίσας, κατὰ τῆς Ῥωμαϊκῆς ἐπικρατείας ἐχώρει, πᾶν
having-collected against the Roman dominion advanced all
τὸ παραπίπτον κατεμπιπρῶν καὶ λείαν τιθέμενος. ὁ δὲ
the coming-in-his-way burning and booty making the and
αὐτοκράτωρ Ῥωμανός, τὴν ἔφοδον τούτου αἰσθόμενος καὶ
emperor Romanos the attack his having-perceived and
τὴν ὕπαιθρον καὶ βιαίαν καταδρομήν, Λέοντα τὸν Φωκᾶν,
the open and violent raid Leo — Phokas
ὁμαίμονα τοῦ Νικηφόρου τελοῦντα, καὶ τῶν τῆς Εὐρώπης
brother — of-Nikephoros being and of-the — of-Europe
στρατιωτικῶν καταλόγων κατάρχοντα (Δομέστικον δύσεως
military rolls commanding Domestic of-(the)-west
Ῥωμαῖοι τὴν τοιαύτην ἀρχὴν ὀνομάζουσι), τῷ Χαμβδᾶν
Romans the such office call — to-Chambdas

ἀντίξουν ἐκπέμπει· ἄνδρα γενναῖον καὶ νεανικόν, φρενήρη
opponent sends-out a-man noble and youthful sensible
τε διαφερόντως, καὶ τὸ ξυνοῖσον ἐν περιστάσεσιν
both exceedingly and the going-to-be-advantageous in crises
ἐπιφράσασθαι πάντων, ὧν ἴσμεν, ἐπιβολώτατον· ᾧ
to-discern of-all whom we-know most-successful with-whom
θεία τις, οἶμαι, κατὰ τὰς μάχας συνεμάχει ῥοπή, ἅπαν
divine a-certain I-think in the battles fought-alongside inclination all
τὸ ἀντίπαλον καταστρεφομένη καὶ τιθεῖσα ὑπόσπονδον.
the opposing subduing and making subject-by-treaty
Πολλῶν γὰρ αὐτῷ συῤῥαγέντων πολέμων παρὰ τὸν 2
many for to-him having-broken-out wars during the
τῆς στρατηγίας καιρόν, οὐδέποτε τοῦ ἀντικαθισταμένου
of-the generalship time never from-the opponent
ἀπῆλθε μειονεκτῶν, ἀλλ᾽ ἀεὶ τὸ πλέον τῆς νίκης
he-came-away worsted but always the greater of-the victory
ἀποφερόμενος. τῷ τοι καὶ Σκυθικῆς στρατιᾶς τὸν
carrying-off therefore indeed also Scythian army the
Ἴστρον περαιωθείσης τὸ κατ᾽ ἐκεῖνο καιροῦ (Οὔννους τὸ
Ister having-crossed the at that time Huns the
ἔθνος κατονομάζουσιν), ἐπεὶ μὴ οἷός τε ἦν ὁ στρατηγὸς
nation they-name since not able — was the general
Λέων ἐξ ἀντιπάλου ταύτῃ συμπλέκεσθαι, ὑπεράριθμον
Leo from opposing(-strength) with-it to-grapple numberless
ἐπαγαλλομένης τὸ πλῆθος τῆς φάλαγγος, σπανίζουσαν
exulting-in the multitude of-the phalanx scant
αὐτὸς καὶ οὐκ ἀξιόμαχον ἴλην στρατιωτῶν ἐπαγόμενος,
he-himself and not fit-for-battle troop of-soldiers bringing
ἔγνω μὴ ἐς προῦπτον κίνδυνον φέρων ἐνσεῖσαι αὑτόν τε
he-resolved not into manifest danger rushing to-hurl himself both
καὶ τοὺς συνεπομένους, λαθραίως δὲ μᾶλλον τοῖς Σκύθαις
and those following secretly but rather on-the Scythians

ἐπιπεσεῖν, καί τι γενναῖον δρᾶσαι καὶ ἀνδρικόν, καὶ
to-fall and something noble to-do and manly and
δόξαν εὐκλεᾶ σφετερίσασθαι. ἄρτι γοῦν διὰ τῶν
glory famous to-win just at-any-rate through the
δρυμῶν κρύβδην παραδραμών, καὶ τὴν ἔπαυλιν τῶν
thickets secretly having-run-past and the encampment of-the
Οὔννων ἐξ ἀπόπτου περιαθρήσας, καὶ τὸ πλῆθος ἐς
Huns from a-distant-view having-surveyed and the multitude to
τὸ ἀκριβὲς κατασκοπήσας, ἀωρὶ τῶν νυκτῶν τριχῇ
the exact having-reconnoitred at-dead-hour of-the nights threefold
διαιρήσας τὴν φάλαγγα, ἐπῄει τοῖς Σκύθαις, καὶ
having-divided the phalanx he-advanced-on the Scythians and
τοσοῦτον φόνον αἰφνίδιον εἰσπεσὼν ἐν μικρᾷ καιροῦ ῥοπῇ
so-much slaughter sudden having-fallen-in in small of-time moment
ἀπειργάσατο, ὡς εὐαριθμήτους ἐκ τοῦ ἀμυθήτου πλήθους
he-wrought so-that easily-counted from the indescribable multitude
διαφυγεῖν. τοῦτον τὸν στρατηγὸν Λέοντα Ῥωμανὸς ὁ
to-escape this the general Leo Romanos the
αὐτοκράτωρ εἰς τὴν Ἀσίαν διεβιβάσατο, εἴ πως ἀλλὰ τάς
emperor into — Asia transferred if somehow at-least the
τε τῶν βαρβάρων ἐπιδρομὰς ἀναστείλειε, καὶ τὰς ἀναίδην
both of-the barbarians raids he-might-check and the shamelessly
τολμωμένας ἀναχαιτίσοι ἐπαγωγάς. ὁ δὲ στρατηγός, ἐπεὶ
dared he-might-rein-in invasions the and general when
τῆς Εὐρώπης ἀπάρας τὴν Ἀσίαν κατείληφε, καὶ τὸ αὔθαδες
— from-Europe having-set-out — Asia reached and the arrogance
καὶ ἀτέραμνον τοῦ Χαμβδᾶν ἠνωτίζετο, καὶ νεὼς καὶ
and harshness — of-Chambdas heard and temples and
κώμας πεπυρπολημένας ἑώρα, καὶ φρουρίων κατασκαφάς,
villages burned he-saw and of-forts demolitions
ἐρημίαν τε τῶν κατοίκων καὶ βιαίαν ἀπαγωγήν, ἔγνω,
desolation both of-the inhabitants and violent carrying-off he-resolved

μὴ ἐς προῦπτον κίνδυνον ἐνιέναι τὴν στρατιάν, μηδὲ τῷ
not into manifest danger to-send the army nor with-the
βαρβαρικῷ εἰς τοὐμφανὲς ἀντιπαρατάττεσθαι πλήθει, πολλὰς
barbarian into the-open to-be-arrayed-against multitude many
μὲν ἐπανῃρημένῳ νίκας, ταῖς δὲ παρ᾽ ἐλπίδα γαυριῶντι
indeed having-won victories in-the and beyond hope exulting
τύχαις, μυριανθρώπους τε καὶ ἐς τὸ ἀκριβὲς καθωπλισμένας
fortunes countless-manned both and to the exact fully-armed
ἐπιφερομένῳ τὰς φάλαγγας· καὶ μάλιστα εὐαρίθμητόν
bringing-on the phalanxes and most easily-counted
τε τὴν στρατιὰν καὶ οὐκ ἀξιόχρεων αὐτὸς ἐπαγόμενος,
both the army and not adequate he-himself bringing
κατεπτηχυῖάν τε τὰς τῶν Ἀγαρηνῶν εὐημερίας καὶ τὰ καθ᾽
having-cowered both the of-the Hagarenes successes and the by
ἑκάστην τρόπαια· κατειληφέναι δὲ μᾶλλον τὰ ἐπικαιρότατα
each(-day) trophies to-seize but rather the most-advantageous
καὶ κρημνώδη τῶν χώρων καὶ προλοχίζειν κατὰ ταῦτα, καὶ
and precipitous of-the places and to-lay-ambush along these and
τὰς διεξόδους ὑποτηρεῖν· ὑπαντιάζειν τε τοῖς βαρβάροις
the passes to-watch to-meet both the barbarians
ἐν τοῖς ἐπισφαλέσι καὶ ἀμφιταλάντοις τῶν ἀταρπιτῶν,
in the dangerous and teetering of-the paths
καὶ καρτερῶς ἀγωνίζεσθαι, ὁπηνίκα καὶ διοδεύοιεν.
and stoutly to-fight when also they-should-pass-through
Οὕτω δὴ γνωσιμαχήσαντι καὶ βουλευσαμένῳ τῷ 3
thus indeed having-reconsidered and having-deliberated to-the
στρατηγῷ Λέοντι ἐπῆλθε, καὶ λόγοις ὑπαλεῖψαι τὴν
general Leo it-occurred both with-words to-anoint the
στρατιὰν καὶ παραινέσεσιν ἐπιῤῥῶσαι, κατὰ τῶν βαρβάρων
army and with-exhortations to-strengthen against the barbarians
ἡνίκα δέοι χωρεῖν, καὶ θαῤῥαλεωτέραν ἐργάσασθαι
when it-should-be-needful to-advance and bolder to-make

πρὸς τὸν πόλεμον. Διαναστὰς οὖν ἐπὶ τοῦ πλήθους καὶ
for the war having-stood-up then before the multitude and
μικρὸν ἐπισχών, τοιαύτην εἰσηγεῖτο παραίνεσιν· "Ἅπαν
a-little having-paused such he-introduced exhortation all
μὲν τὸ καθ' ὑμᾶς στῖφος εἰδὼς ἄριστον, ὦ συστρατιῶται,
indeed the among you band knowing best O fellow-soldiers
αὐτουργόν τε τὰ πολέμια, καὶ τακτικῆς ἐμπειρίας
practiced both in-the warlike(-things) and of-tactical experience
ὑπόπλεον, ἐπὶ τὴν Ἀσίαν ὁ κοινὸς ἀμφοτέρων δεσπότης
full to — Asia the common of-both master
καὶ βασιλεύς, κάμνουσαν ἤδη καὶ ἐπὶ γόνυ κεκλιμένην
and emperor laboring already and on knee bowed
ταῖς τοῦ Χαμβδᾶν καταδρομαῖς τε καὶ προνομαῖς, ἐμοὶ
by-the — of-Chambdas raids both and foragings to-me
τὴν τῆς ἡγεμονίας ἐγχειρίσας ἀρχήν, διεβίβασε. παραινῶ
the of-the command having-entrusted office transferred I-exhort
τοίνυν καὶ συμβουλεύω, οὐχ ὅπως γενναίως ἀντιτάξοισθε
therefore and counsel not how nobly you-will-array-yourselves
τοῖς ἐχθροῖς (οἶμαι γὰρ μὴ δεῖσθαι λόγων ὑμᾶς
against-the enemies I-think for not to-need words you
ἐναγόντων ἐς εὐτολμίαν, οἷς ἐξ ἁπαλῶν ἀνδρία μετὰ
leading-on to boldness in-whom from tender(-years) bravery with
τόλμης ἐξήσκηται)· ἀλλ' ὡς ἂν ἄριστα βουλευσάμενοι
daring has-been-trained but how — best having-planned
καταγωνίσοισθε τὸν ἐχθρόν. πόλεμος γὰρ οὐ τοσοῦτον
you-may-overcome the enemy war for not so-much
ἐξ ἀντιπάλου κατορθοῦσθαι ῥοπῆς εἴωθεν, ὅσον εὐβουλίας
from opposing to-be-won force is-wont as of-good-counsel
προνοίᾳ καὶ τροπαίων ἐπαγωγῇ ῥᾳδιουργουμένῃ κατὰ
by-foresight and of-trophies by-the-leading achieved-with-ease in
καιρόν. τὴν μὲν οὖν παράταξιν τῶν ἐχθρῶν ἴστε σαφῶς,
season the indeed then array of-the enemies you-know clearly

ὅση διὰ τῶν τῇδε πεδίων ἐκκέχυται, ὡς πολλή τέ
how-great through the here plains has-been-poured-out how great both
ἐστι καὶ ἀριθμὸν ὑπερβαίνουσα· τὴν δὲ καθ᾽ ὑμᾶς στρατιὰν
it-is and number exceeding the but among you army
γενναίαν μὲν καὶ νεανικὴν τῇ τε ῥώμῃ καὶ τοῖς φρονήμασι
noble indeed and youthful in-the both strength and in-the spirits
καὶ αὐτὸς εἶναί φημι· πλήθει δὲ καὶ ταῖς φάλαγξιν οὐκ
also myself to-be I-say in-number but and in-the phalanxes not
ἂν φαίη τις ἀξιόμαχον. δεῖ οὖν Ῥωμαίους ὄντας
— would-say anyone fit-for-battle it-is-needful then Romans being
μεμηχανῆσθαί τε καὶ βεβουλεῦσθαι δεόντως, ἐν τοῖς ἀπόροις
to-have-contrived both and to-have-deliberated fittingly in the straits
ἐξευρίσκειν τὰ πρόσφορα, αἱρεῖσθαί τε πρὸ τῶν δεινῶν
to-find-out the useful(-things) to-choose both before the dangers
τὰ ξυμφέροντα. μὴ οὖν ἀλογίστῳ φορᾷ καὶ παραβόλοις
the advantageous(-things) not then with-reckless impetus and with-rash
τολμήμασιν εἰς προῦπτον αὐτομολήσωμεν ὄλεθρον. τόλμα
darings into manifest let-us-go-over destruction daring
γὰρ ἀχαλίνωτος ἐς κίνδυνον εἴωθε συνωθεῖν, ἡ δὲ μετὰ
for unbridled into danger is-wont to-push the but with
λογισμοῦ μέλλησις διασώζειν οἶδε τοὺς κεχρημένους αὐτῇ.”
reasoning delay to-preserve knows-how those using it
“Παραινῶ τοιγαροῦν, ἄνδρες, μὴ διακινδυνεύειν πρὸς 4
I-exhort therefore men not to-run-the-risk against
τοὺς βαρβάρους ἐπὶ τόπων τῶν πεδεινῶν ἀκαθέκτοις
the barbarians in places the level with-unrestrained
ὁρμήμασιν, ἀλλ᾽ ἐπὶ τῶν ἐρυμνῶν ἐλλοχῶντας τουτωνὶ
rushes but in the strong lying-in-ambush of-these
χωρίων τὴν ἐκείνων ὑπομένειν ἄφιξιν καὶ διάβασιν·
places the their to-await arrival and passage
τηνικαῦτα δὲ τούτοις ἐῤῥωμενέστερον ἐπιτίθεσθαι καὶ
then and on-them more-vigorously to-set-upon and

γενναίως ἀντικαθίστασθαι. ταύτῃ γὰρ οἶμαι (σὺν Θεῷ
nobly to-stand-against thus for I-think with God
φάναι) κρατήσειν τε τῶν ἐχθρῶν, καὶ τὴν λείαν
to-say to-prevail-over both of-the enemies and the booty
ἅπασαν τῶν ὁμοφύλων πρὸς ἡμᾶς ἀνασώσασθαι. τῷ
all of-the kinsmen to us to-recover by-the
γὰρ ἀπροσδοκήτῳ τῶν ἐπιδρομῶν δουλοῦσθαι εἴωθε τὰ
for unexpectedness of-the attacks to-be-enslaved is-wont the
πολέμια, καὶ ταῖς αἰφνιδίοις ὑπεξελάσεσι τὰ ὑπέραυχα
hostile(-things) and by-the sudden charges the boastful
καὶ ἀλαζονικὰ πέφυκε φρονήματα θραύεσθαι. τήν τε
and arrogant are-by-nature spirits to-be-broken the both
οὖν ἡλικιῶτιν ἀρετὴν διατηροῦντες καὶ τὴν σύντροφον
then of-your-age virtue preserving and the inborn
πρὸς τοὺς ἀγῶνας εὐγένειαν, τοῖς ἐναντίοις ὑπαντιάζετε,
for the contests nobility the enemies meet
ὅτε σημήνω ταῖς σάλπιγξι." τοιαύτην μὲν ὁ στρατηγὸς
when I-signal with-the trumpets such indeed the general
τὴν παραίνεσιν ἐξηγήσατο· ὁ δὲ στρατὸς ἠλάλαξέ τε
the exhortation set-forth the and army raised-the-war-cry both
καὶ ἐπεκρότησε, καὶ ὡς τὰ κράτιστα ὑποθεμένῳ ᾗ ἂν
and applauded and as the best(-things) having-proposed wherever —
ἡγοῖτο ἕπεσθαι προθύμως ἦν. ἐνέδραις οὖν διειλήφει
he-might-lead to-follow eagerly it-was with-ambushes then he-had-occupied
τὴν ὁδόν, ἀποτόμους τὰς ἀκρωρείας προβαλλομένην,
the road sheer the ridges putting-forth
κρημνώδεις τε καὶ σηραγγώδεις ὡς τὰ πολλά, τὰς
precipitous both and full-of-hollows as the most the
ὑπωρείας δὲ βαραθρώδεις τε καὶ ἀμφιλαφεῖς πρέμνων
foothills and ravine-like both and thickly-wooded with-stumps
τε καὶ παντοδαπῶν ἰδέαις φυτῶν. ταύτῃ προλοχίσας
both and of-every-kind with-kinds of-plants there having-laid-ambush

ὁ στρατηγὸς καθῆστο, τὴν τῶν βαρβάρων προσμένων
the general sat the of-the barbarians awaiting
ἐπήλυσιν. ὁ δὲ Χαμβδᾶν, τῷ τε πλήθει τῶν ἑφεπομένων
approach — and Chambdas in-the both multitude of-the followers
καὶ ταῖς φάλαγξι σοβαρευόμενος καὶ γαυρούμενος, τῇ τε
and in-the phalanxes swaggering and exulting in-the both
τῶν λαφύρων πλησμονῇ καὶ τῇ τῶν αἰχμαλώτων ἀπαγωγῇ
of-the spoils abundance and in-the of-the captives carrying-off
ἐπαιρόμενός τε καὶ βρενθυόμενος, πολλὰς κατὰ θάτερα
being-elated both and puffed-up many on the-other-side
τὰς ἐπεξελάσεις ἐποιεῖτο, ἐφ᾽ ἵππου θηλείας καὶ μέγεθος
the sallies he-made on horse a-mare both in-size
καὶ δρόμον ὑπερφυοῦς ἐποχούμενος, καὶ τῆς στρατιᾶς πη
and in-speed extraordinary riding and of-the army here
μὲν οὐραγῶν, πὴ δὲ προοδεύων, καὶ τὸ δόρυ σείων,
indeed bringing-up-the-rear there and going-ahead and the spear brandishing
καὶ ταῖς αὔραις μεθιείς, εἶτ᾽ αὖθις μεθέλκων πρὸς ἑαυτὸν
and to-the breezes letting-go then again drawing-back to himself
κραδαινόμενον. ἐπεὶ δὲ τὴν ἱππήλατον ὁδὸν διελθὼν
quivering when and the horse-riding road having-passed-through
ταῖς δυσχωρίαις προσέβαλλε, καὶ τοῖς στενωτάτοις καὶ
to-the rough-places he-came and in-the narrowest and
ἀνωμάλοις συνειληθέντες τῶν τόπων οἱ βάρβαροι τὴν
uneven having-been-crowded of-the places the barbarians the
φάλαγγα διελύσαντο, καὶ ὥς πη ἐνὸν ἦν ἑκάστῳ,
phalanx broke-up and as somehow possible it-was for-each
κατὰ κρημνώδη διήεσαν, τηνικαῦτα ταῖς σάλπιγξι
over precipitous(-ground) they-went-through then with-the trumpets
τὸ ἐνυάλιον ὑποσημήνας ὁ στρατηγὸς καὶ τῶν λόχων
the war-cry having-signaled the general and from-the ambushes
διαναστήσας τοὺς ἀμφ᾽ αὐτόν, ὑπηντίαζε τοῖς βαρβάροις.
having-raised those about him he-met the barbarians

Καὶ πάντες ἐπὶ τῶν ξιφῶν εἶχον τὰς δεξιάς, καὶ ταῦτα
and all on the swords had the right(-hands) and these
σπασάμενοι ἐπιστροφάδην ἔκτεινον τὸ ἀντίπαλον κεκμηκὸς
having-drawn turning-about they-killed the opposing(-force) exhausted
τῇ ὁδοιπορίᾳ, ἀκμῆτες αὐτοὶ τούτῳ πελάζοντες. καὶ
by-the journey unwearied themselves to-it drawing-near and
κἂν καὶ αὐτὸς ὁ Χαμβδᾶν ἥλω μικροῦ πρὸς τῶν
even also himself — Chambdas was-captured nearly by the
Ῥωμαίων δορυάλωτος· εἰ μή, τὴν ἄλλως ἀγχίνους ὢν
Romans captured-by-the-spear if not the otherwise shrewd being
κἂν τοῖς ἀπόροις ὀξὺς ἐννοῆσαι τὰ δέοντα, τὸν ὃν
even-in the straits sharp to-perceive the needful(-things) the which
ἐπεφέρετο ἄργυρον καὶ χρυσὸν χύδην ἐπὶ τῆς ἀταρπιτοῦ
he-was-carrying silver and gold in-heaps on the path
διασπείρειν προσέταξεν· ᾧ καὶ περισπάσας τὴν τῶν
to-scatter he-ordered by-which also having-diverted the of-the
Ῥωμαίων ὁρμήν, ἀσχοληθέντων τῇ τοῦ χρυσοῦ συλλογῇ,
Romans rush busied with-the of-the gold gathering
μετ᾽ ὀλίγων ὑπασπιστῶν μόγις τὸν τοιοῦτον διαπέφευγε
with few shield-bearers barely the such escaped
κίνδυνον. λέγεται δὲ τοσοῦτον αὐτουργηθῆναι φόνον τοῦ
danger it-is-said and so-much to-have-been-wrought slaughter of-the
βαρβαρικοῦ πλήθους πρὸς τῶν Ῥωμαίων κατὰ τουτονὶ
barbarian multitude by the Romans in this-here
τὸν πόλεμον, ὡς πολλαχοῦ τῶν χώρων ἐκείνων σωρείας
the war that in-many-places of-the lands those heaps
ἀνθρωπείων ὀστῶν ὁρᾶσθαι μέχρι καὶ νῦν. ἐπεὶ δὲ
of-human bones to-be-seen as-far even now when and
τοιούτοις τροπαίοις καὶ στρατηγήμασι τὴν πολυάνθρωπον
with-such trophies and stratagems the populous
πληθὺν τῶν βαρβάρων ὁ στρατηγὸς ἠγωνίσατο καὶ
host of-the barbarians the general fought-down and

διέφθειρε, καὶ τὸ ὑψαύχενον τοῦ Χαμβδᾶν καὶ τετυφωμένον
destroyed and the high-necked — of-Chambdas and puffed-up
εἰς ἀγεννῆ καὶ ἄνανδρον δειλίαν καὶ φυγαδείαν κατέσπασε
into ignoble and unmanly cowardice and flight dragged-down
καὶ συνέκλεισε, τοὺς ἀμφ' αὐτὸν συναγηοχὼς καὶ τὴν λείαν
and shut-in those about him having-gathered and the booty
ἐπισυνάξας, ὅση τε ἦν βαρβαρική, καὶ ὁπόση Ῥωμαϊκὴ
having-collected as-much-as both was barbarian and as-much-as Roman
ἐκ τῆς προνομῆς τοῖς βαρβάροις συνήθροιστο, ταύτης
from the foraging by-the barbarians had-been-collected of-this
τὸ πλεῖστον τῇ στρατιᾷ διένειμε· καὶ τοὺς αἰχμαλώτους
the most to-the army he-distributed and the captives
ἐφοδιάσας ἐπὶ τὰ σφῶν ἤθη ἀποτρέχειν ἐξέπεμπε·
having-provisioned to the their-own homes to-run-back he-sent-off
τοὺς δὲ τῷ πολέμῳ ληφθέντας πέδαις ἀσφαλισάμενος
those and in-the war taken with-fetters having-secured
τῶν Ἀγαρηνῶν, ἐπαιώνιζεν ἐπινίκια, καὶ τῇ προνοίᾳ
of-the Hagarenes he-sang victory-hymns and to-the providence
τὰς εὐχαριστηρίους ἐσπένδετο προσευχάς, καὶ πρὸς τὴν
the thanksgiving poured-out prayers and to the
αὐτοκράτορα δυναστείαν ἠπείγετο, θριαμβεύσων εἰς τὸ
imperial power he-hastened going-to-triumph into —
Βυζάντιον. ὁ δὲ στρατὸς ἐν κρότοις εἶχε τὸν στρατηγόν,
Byzantium the and army with applause had the general
ἀγάμενοι τοῦτον ὡς τὸ εἰκός, καὶ ἄνδρα ἐπιφημίζοντες, οἷον
admiring him as the likely and a-man calling such-as
μὴ φέρειν ἄλλον τὴν τότε γενεάν, καὶ τῆς εὐτυχίας αὐτὸν
not to-bear another the then generation and for-the good-fortune him
ἐξεθείαζον, κατὰ ῥοῦν αὐτῷ προχωροῦντα τὰ τῶν πολέμων
they-deified with stream for-him advancing the of-the wars
ὁρῶντες ὡς μάλιστα. ὁ δὲ κατειληφὼς τὸ Βυζάντιον,
seeing as most he and having-reached — Byzantium

ἐπεὶ μετὰ πλείστης ὅτι λείας καὶ μυρίων δορυαλώτων
when with very-much as-could-be booty and countless spear-captured
Ἀγαρηνῶν εἰσῄει, ὑπεδέχθη τε ὑπὸ τοῦ αὐτοκράτορος
Hagarenes entered was-received both by the emperor
Ῥωμανοῦ φιλοτίμως, καὶ πὶ τοῦ θεάτρου θριαμβεύσας,
Romanos lavishly and-in the theater having-triumphed
τῷ πλήθει τῶν ἀνδραπόδων καὶ τῶν λαφύρων τοὺς
with-the multitude of-the slaves and of-the spoils the
θεωμένους ἐξέπληξεν· ἀμοιβάς τε καὶ τιμάς, ἀναλογούσας
beholders astounded rewards both and honors proportionate
τοῖς πόνοις, παρὰ τοῦ κράτους ἀπείληφεν. ἀλλ᾽ οὕτω μὲν
to-the labors from the sovereign he-received but thus indeed
ὁ στρατηγὸς Λέων τὴν Ἀσίαν ἔσωσε, καταγωνισάμενος
the general Leo — Asia saved having-overcome
τὸν Χαμβδᾶν, φυγάδα τε καὶ ἀλήτην ἀπεργασάμενος.
— Chambdas fugitive both and wanderer having-made

IV · THE TOWN TAKEN

In spring Nikephoros assaults the Cretans' town, and a courtesan who jeers from the battlements is shot down. Sappers undermine the wall, prop it, and fire the props, and two towers collapse. The Cretans flee through the lanes, and Nikephoros rides in to stop the slaughter of those who surrender. The town is plundered, a fort named Temenos is built, and Nikephoros triumphs in Constantinople and takes over sixty Arab forts.

6 Νικηφόρος δὲ ὁ Φωκᾶς, ὁ τοῦ ῥηθέντος Λέοντος
Nikephoros and — Phokas the of-the mentioned Leo
σύναιμος (δεῖ γὰρ ἀνακεφαλαιωσάμενοι τὸν λόγον
brother it-is-needful for having-recapitulated the account
καθ᾽ εἱρμὸν πρόσω τῆς ἱστορίας χωρεῖν), ὡς τῇ τῶν
in sequence forward of-the history to-go when to-the of-the

Κρητῶν πελάσας ἐκεῖ διεχείμαζε, καὶ τόν τε στρατὸν
Cretans having-approached there he-wintered and the both army
τὰ πολεμικὰ διεγύμναζε, καὶ τὰς ἑλεπόλεις ἐτεκταίνετο,
in-the warlike(-things) trained and the siege-engines built
ἐπείπερ κατὰ νοῦν αὐτῷ πάντα προὐκεχωρήκει, ἄρτι
since according-to mind for-him all had-gone-forward just
τοῦ ἦρος ἐκ τῆς χειμερινῆς τροπῆς ἠρέμα προκύπτοντος,
the spring from the wintry solstice gently peeping-forth
τὸν περὶ αὑτὸν καθοπλίσας στρατὸν καὶ εἰς βαθεῖαν
the about himself having-armed army and into deep
παραταξάμενος φάλαγγα, τάς τε σάλπιγγας ἐπαυλήσας
having-drawn-up phalanx the both trumpets having-sounded
καὶ τὰ τύμπανα παταγήσας κατὰ τοῦ ἄστεος ἤλαυνεν.
and the drums having-beaten against the town he-drove
ἐν ᾧ δὲ ὁ στρατηγὸς τὴν ἴλην κατὰ μέτωπον
in which and the general the squadron at front
ἐκρατύνετο, καὶ εἰς πλαίσιον τὰς δυνάμεις συνέταττε,
was-strengthening and into a-square the forces was-arranging
γύναιον ἑταιρικόν, ἀκκιζόμενόν τε καὶ θρυπτόμενον,
a-woman of-the-courtesan-sort simpering both and giving-herself-airs
ἰταμὸν ἐπιεικῶς τυγχάνον καὶ ἀναιδές, τῶν προμαχεώνων
bold fairly being and shameless from-the battlements
προκύπτον, γοητείας ἐποιεῖτό τινας καὶ ἐπῳδάς. λέγεται
leaning-out spells made certain and incantations it-is-said
γὰρ κατόχους εἶναι Κρῆτας μαντείαις καὶ βωμολοχίαις
for possessed to-be Cretans by-divinations and buffooneries
καὶ πλάναις, πρὸς τῶν Μανιχαίων καὶ τοῦ Μωάμεθ
and delusions from the Manichaeans and — Mohammed
παρειληφότας ἀνέκαθεν. οὐ ταύτῃ δὲ μόνον τὸ ἰταμὸν
having-received from-of-old not thus but only the bold
ἐκεῖνο γύναιον τὸ ἀναιδὲς καὶ ἀκόλαστον ἐπεδείκνυτο·
that woman the shamelessness and licentiousness displayed

ἀλλὰ καί, τὸν χιτωνίσκον παρὰ τὸ μέτριον ἀνασεσυρκὸς
but also the little-tunic beyond the measure having-pulled-up
καὶ ἀπογυμνοῦν τὰ μέρη τοῦ σώματος, ἐς τὸν στρατηγὸν
and baring the parts of-the body at the general
ἐπέσκωπτεν ἐπαρώμενον. καὶ δή τις τῶν εὐστόχων
she-jeered cursing and indeed one of-the good-shot
τοξοτῶν, τὴν νευρὰν ἐντεινάμενος, βάλλει τὸ ἀκόλαστον
bowmen the string having-stretched strikes the licentious
γύναιον, καὶ χαμαιῤῥιφὲς τῶν πύργων κατήνεγκε,
woman and thrown-to-the-ground from-the towers brought-down
διαῤῥαγὲν αὐτίκα, καὶ τὸ ψυχίδιον ἀποφυσῆσαν, καὶ
shattered at-once and the wretched-little-soul having-breathed-out and
τίσιν τῆς ὕβρεως τὸν οἰκτρὸν ἐπισπασάμενον ὄλεθρον.
as-penalty of-the insolence the pitiable having-drawn-on destruction
ἄρτι δὲ τῆς μάχης καρτερᾶς ἀναῤῥιπισθείσης, χρόνον
just and the battle fierce having-been-fanned time
μέν τινα ἀντεῖχον οἱ Κρῆτες, ἐκ τῶν τειχῶν ἐκθύμως
indeed some held-out the Cretans from the walls ardently
ἀγωνιζόμενοι, καὶ πολλοὺς τῶν Ῥωμαίων τιτρώσκοντες.
fighting and many of-the Romans wounding
7 Ὁ δὲ στρατηγός, τοῦτο καταμαθών, τὰς ἀφετηρίους
the and general this having-learned the launching
θᾶττον παρήγαγε μηχανάς, καὶ βάλλειν τοὺς βαρβάρους
quickly brought-up engines and to-strike the barbarians
ἐκέλευε. καὶ πρὸς τούτοις τοῖς τείχεσι προσεπέλασε τὴν
ordered and to these the walls brought-near the
ἑλέπολιν· κριὸν Ῥωμαῖοι τὸ τεχνούργημα ὀνομάζουσι, τῷ
siege-engine ram Romans the contrivance name by-the
δίκην κριοῦ προτομῆς τὸν σίδηρον ἀπεικάζεσθαι, ὃς
in-the-manner of-ram's head the iron to-be-likened which
ἐνηρμοσμένος ὢν τῇ δοκῷ παίει τὸν δόμον τοῦ ἄστεος.
fitted being to-the beam strikes the structure of-the town

τῶν δὲ πετροβόλων βάρη θαμινὰ τῶν λίθων ἐπαφιέντων,
the and stone-throwers weights thickly of-the stones letting-fly
εὐπετῶς οἱ βάρβαροι ἀνεστέλλοντο· καὶ τοῦ κριοῦ τοῖς
easily the barbarians were-driven-back and the ram to-the
τείχεσιν ἐγχριμφθέντος καὶ κραταιῶς ταῦτα τύπτοντος,
walls having-been-brought-close and mightily these striking
ἄνδρες ὑποδύντες τὴν ταφρείαν συχνοί, λιθοτόμα ὄργανα
men having-slipped-under the ditch many stone-cutting tools
φέροντες, καὶ ἀνορύττειν ἐκεῖθεν ἀρξάμενοι, ἐξεκόλαπτον
carrying and to-dig-up from-there having-begun hollowed-out
ἠρέμα, καὶ τὴν λίθον διέκοπτον, ἵνα τοῦ τείχους ἡ βάσις
gently and the stone cut-through where of-the wall the base
ἠρήρειστο. παρὰ τυχὸν δὲ ψαμμῶδες ταύτῃ τὸ μέρος ἡ
had-been-founded by chance and sandy there the part the
λίθος λαχοῦσα ὑπεῖκέ τε καὶ ἐνεδίδου ὡς μάλιστα.
stone having-happened-to-be gave-way both and yielded as most
ὁ δὲ κριὸς τύπτων οὐκ ἀνίει τὸ ἔρυμα, καὶ κατὰ μικρὸν
the and ram striking not let-go the fortification and by little
διασπῶν τὴν οἰκοδομίαν, ἐς τὸ ἀκριβὲς συμπεπιλημένην
tearing-apart the masonry to the exact compressed
οὖσαν καὶ δυσαπόσπαστον. ἐπεὶ δὲ τὰ γεῖσα, ᾗπερ
being and hard-to-tear-away when and the cornices where
διώρυττον οἱ ἐπὶ τοῦτο ταχθέντες, ἐκκρεμῆ καὶ ὑπόκενα,
dug those for this assigned overhanging and hollowed-beneath
ὡς τὸ εἰκός, ἐξειργάσαντο, ὀρθοστάδην ξύλοις ὑπήρειδον,
as the likely had-made upright with-timbers they-propped
ὕλην τε ταχυδᾳῆ καὶ αὖον συννήσαντες καὶ πῦρ
material both quick-burning and dry having-heaped-together and fire
ἐνιέντες, τῆς διώρυχος ὑπεξήεσαν. τῆς δὲ φλογὸς
putting-in from-the tunnel they-went-out the and flame
ἀναφθείσης καὶ τῶν στηριγμάτων ἀνθρακωθέντων, δύο
having-been-kindled and the props having-been-charred two

πύργοι ὁμοῦ τῷ διαμέσῳ τούτων δομήματι τοῦ τείχους
towers together with-the between them structure of-the wall
ἐξαπιναίως ἀποῤῥαγέντες, ὑφίζανόν τε, καὶ ὑπωλίσθαινον,
suddenly having-broken-away sank both and slid-down
καὶ πρὸς τοὔδαφος κατεφέροντο. οἱ δὲ Κρῆτες, τῷ καινῷ
and to the-ground were-borne-down the and Cretans by-the novelty
τοῦ ὁράματος θαμβηθέντες, ἐπ᾽ ὀλίγον χρόνον τὴν μάχην
of-the sight astounded for a-little time the battle
ἐξέκλιναν, τῷ τεραστίῳ καταπλαγέντες τοῦ πράγματος.
shunned by-the portentousness thunderstruck of-the event
εἶτ᾽ αὖθις τὸν τῆς αἰχμαλωσίας καὶ δουλείας ὑπολογισάμενοι
then again the of-the captivity and slavery having-reckoned
κίνδυνον, εἰς ἀῤῥαγῆ παράταξιν συνηθροίζοντο, καὶ διὰ
danger into unbreakable array gathered and through
τῶν κατεριπωθέντων τειχῶν τὴν Ῥωμαϊκὴν διαβαίνουσαν
the fallen-down walls the Roman crossing
φάλαγγα ἐῤῥωμενέστατα ὑπεδέχοντο, δαιμονίως τε
phalanx most-vigorously they-received wondrously both
διηγωνίζοντο, περὶ ψυχὴν κινδυνεύοντες. ἄρτι δὲ πολλῶν
fought-it-out for life risking just and many
ἀναιρεθέντων, ἐπεὶ πρὸς τοσαύτην ἀνανταγώνιστον ῥοπὴν
having-been-killed when against such irresistible force
οὐχ οἷοί τε ἦσαν ἀντικαθίστασθαι (ἐπέβρισαν γὰρ
not able — they-were to-withstand bore-down for
αἱ δυνάμεις κατόπιν, καὶ ὠθισμὸς ἀνυπόστατος ἦν),
the forces from-behind and pushing irresistible was
εἰς φυγὴν τρέπονται, χωροῦντες διὰ τῶν στενωπῶν·
to flight they-turn going through the narrow-lanes
Ῥωμαῖοι δὲ ἐφεπόμενοι τούτους ἀνῄρουν ἀνηλεῶς. οἱ
Romans and following them killed pitilessly those
δὲ περιλειφθέντες καὶ ὅσους οὐκ ἔφθη ἐκθερίζειν ὁ
and left and as-many-as not had-first to-mow-down the

πόλεμος, τὰ ὅπλα ῥίψαντες εἰς ἱκετείαν ἐτράποντο.
war the arms having-thrown-away to supplication turned
ὅπερ ὁ στρατηγὸς θεασάμενος, τὸν ἵππον κεντρίσας καὶ
which the general having-beheld the horse having-spurred and
τὸν δρόμον ἐπιταχύνας, εἰσήλαυνέ τε καὶ τῶν στρατιωτῶν
the run having-quickened rode-in both and of-the soldiers
τὴν ὁρμὴν ἀνετείχιζε, μὴ κτείνειν ἀναπείθων τοὺς τὰ ὅπλα
the rush walled-off not to-kill persuading the the arms
ῥίψαντας ἄνδρας, μηδὲ κατὰ ψιλῶν καὶ ἀόπλων
having-thrown-away men nor against light-armed and unarmed
ὠμῶς καὶ ἀπανθρώπως χωρεῖν, ἀπανθρωπίας λέγων εἶναι,
cruelly and inhumanly to-go of-inhumanity saying to-be
τὸ ὑπεῖξαν καὶ γεγονὸς ὑποχείριον διαφθείρειν ἤδη καὶ
the having-yielded and become subject to-destroy already and
ἀποκτιννύειν ὡσπερεὶ πολέμιον. τούτοις τοῖς λόγοις μόλις
to-kill as-if enemy with-these the words barely
ἐπέσχεν ὁ στρατηγὸς τῆς στρατιᾶς τὴν μιαιφόνον ὁρμήν.
checked the general of-the army the bloodthirsty rush
Ἐπεὶ δὲ κατὰ κράτος ἥλω ἡ πόλις, τὰ πρωτόλεια 8
when and by force was-taken the city the first-fruits
ὑφελὼν ὁ στρατηγός, καὶ τὸ ἀκμαῖον τῶν αἰχμαλώτων
having-taken-off the general and the vigor of-the captives
ἀνδραποδισάμενος, διειληφώς τε ταῦτα καὶ εἰς ὃν
having-enslaved having-divided both these and into which
ἔμελλε κατάγειν θρίαμβον διατηρήσας ὡς μάλιστα, τὰ
he-was-going to-lead triumph having-kept as most the
λοιπὰ τοῖς στρατιώταις προνομεύειν προτέθεικεν. οἱ δὲ
rest to-the soldiers to-plunder he-set-out they and
διὰ τῶν δωμάτων χωροῦντες πολλὰς καὶ πολυτελεῖς
through the houses going many and costly
ἐκαρποῦντο τὰς ὠφελείας. πλεῖστον γὰρ καὶ ἀνεξάντλητον
reaped the gains very-much for and inexhaustible

τῶν Κρητῶν λέγεται πόλιν ἔνδον τὸν ὄλβον παρακατέχειν,
of-the Cretans it-is-said city within the wealth to-keep-back
ἐπὶ συχνὸν οὐχ ἥκιστα εὐημερήσασαν, εὐμενοῦς τε καὶ
for long not least having-prospered kindly both and
μειλιχίου πειραθεῖσαν τῆς τύχης, καὶ μηδέν τι τῶν
gentle having-experienced of-the fortune and nothing at-all of-the
ἀπευκταίων καθυπομείνασαν, ἃ ἡ παλίντροπος τῶν
abominable(-things) having-endured which the changeable of-the
χρόνων φορὰ ὡσανεί τινας κῆρας ἐπικυλίνδειν εἴωθε·
times course as-if certain dooms to-roll-on is-wont
μάλιστα δὲ πειρατικαῖς καὶ λῃστρικαῖς κεχρημένην
most and with-piratical and robber having-used
ἐκπλεύσεσι, τῶν γαιῶν ἀμφοτέρων ληΐσασθαι τὰ παράκτια,
sailings-out of-the lands both to-plunder the coastal(-parts)
κἀκ τῶν τοιούτων ἐπιτηδευμάτων ἀποθησαυρίσαι πλοῦτον
and-from the such practices to-store-up wealth
ἀμύθητον. ἀλλὰ τοῦτον μὲν τὸν τρόπον ἥλω τὸ
untold but this indeed the manner was-taken the
ἄστυ καὶ πρὸς τῶν Ῥωμαϊκῶν ἐλήφθη χειρῶν. ἐπεὶ δὲ
town and by the Roman was-taken hands when and
τὰ ἔνδον ἐκκεκόμιστο ἅπαντα, τὸν περίβολον ὁ
the within(-things) had-been-carried-out all the circuit-wall —
Νικηφόρος κατασκάπτειν διακελεύεται· τοῦ δὲ πολλαχῆ
Nikephoros to-demolish orders the and in-many-places
κατεριπωθέντος, ἐπὶ τὴν χώραν αὖθις ἀπῆγε τὴν
having-been-thrown-down to the land again he-led-away the
δύναμιν. ἀνδραποδισάμενός τε ταύτην καὶ ληϊσάμενος,
force having-enslaved both it and having-plundered
καὶ τὸ ἀντίξουν ἅπαν ἀναιμωτὶ παραστησάμενος,
and the opposing(-force) all without-bloodshed having-reduced
ἐπί τινα λόφον ὑψηλὸν καὶ ἀνάντη, οὐκ ἀπωτάτω
to a-certain hill high and steep not farthest

τοῦ κατεριπωθέντος ἄστεος ὑπερκείμενον, ἴεται, καὶ
from-the thrown-down town lying-above he-goes and
παμπληθεὶ τειχίον οἰκοδομεῖν ἐγκελεύεται. ἀνεπισφαλὴς
with-the-whole-host a-little-wall to-build orders secure
γὰρ ὁ χῶρος ἐδόκει, καὶ πρὸς ἔρυμα καρτερός, κρημνοῖς
for the place seemed and for fortification strong with-precipices
τε διερῥωγὼς καὶ φάραγξιν ἀποτόμοις ἑκατέρωθεν, κἀκ
both broken and with-ravines sheer on-both-sides and-from
τῆς κορυφῆς ἀεννάους ἀναδιδοὺς πίδακας, καὶ τοῖς ὕδασι
the summit ever-flowing sending-up springs and with-the waters
τούτων καταῤῥεόμενος. τοῦ δὲ ἐρύματος ἀσφαλέστατά τε
of-these flowing-down the and fortification most-securely both
καὶ στερεώτατα ἐξεργασθέντος, στρατιὰν ἀξιόχρεων τῷ
and most-solidly having-been-wrought army adequate in-the
χώρῳ ἐγκατοικίσας, Τέμενος τὸ ἄστυ ὠνόμασε, καὶ τὴν
place having-settled Temenos the town he-named and the
νῆσον ἐξημερώσας ἅπασαν, Ἀρμενίων τε καὶ Ῥωμαίων καὶ
island having-tamed all of-Armenians both and of-Romans and
συγκλύδων ἀνδρῶν φατρίας ἐνοικισάμενος, καὶ πυρφόρους
of-motley men clans having-settled and fire-bearing
τριήρεις ἐς φυλακὴν ταύτης καταλιπών, αὐτὸς τὴν
triremes for guard of-it having-left he-himself the
λείαν καὶ τοὺς αἰχμαλώτους ἀνειληφώς, ἀνέπλει πρὸς
booty and the captives having-taken sailed to
τὸ Βυζάντιον. μεγαλοπρεπῶς τε παρὰ τοῦ αὐτοκράτορος
— Byzantium magnificently both by the emperor
Ῥωμανοῦ ὑποδεχθείς, θρίαμβον ἐπὶ τοῦ θεάτρου κατήνεγκε,
Romanos having-been-received triumph in the theater led-in
παντὸς συναθροισθέντος τοῦ δήμου, καὶ τὸ πλῆθος καὶ τὸ
all having-gathered the people and the multitude and the
κάλλος τῆς λείας θαυμάζοντος. ἑωρᾶτο γὰρ χρυσὸς καὶ
beauty of-the booty admiring was-seen for gold and

ἄργυρος παμπληθής, καὶ νόμισμα βαρβαρικὸν ἀπέφθου
silver in-abundance and coin barbarian of-refined
χρυσοῦ, πέπλοι τε χρυσόπαστοι, καὶ τάπητες ἁλουργοί, καὶ
gold robes both gold-spangled and carpets purple and
παντοδαπὰ κειμήλια, εἰς ἄκρον τέχνης ἐξειργασμένα, χρυσῷ
of-every-kind treasures to height of-art wrought with-gold
καὶ λίθοις μαρμαίροντα· πανοπλίαι τε, καὶ κράνη, καὶ ξίφη,
and stones sparkling full-armors both and helmets and swords
καὶ θώρακες ἀληλιμμένα χρυσῷ, ἔγχη τε καὶ ἀσπίδες καὶ
and breastplates anointed with-gold spears both and shields and
τόξα παλίντονα ἀριθμὸν ὑπερβαίνοντα (εἶπεν ἄν τις
bows back-bending number exceeding would-have-said — anyone
ἐκεῖσε παρατυχών, τῆς βαρβάρου γῆς τὸν ἅπαντα πλοῦτον
there happening-by of-the barbarian land the all wealth
συγκομισθῆναι τότε κατὰ τὸ θέατρον), τοσαῦτα τὸ
to-have-been-brought-together then in the theater so-great the
πλῆθος ἐτύγχανον, ὡς μιμεῖσθαί τινα ποταμὸν ἀφθόνως
multitude they-were that to-imitate some river abundantly
εἰσρέοντα. τούτοις εἵποντο καὶ οἱ ἀνδραποδισθέντες
flowing-in these followed also the enslaved
βάρβαροι, εἰς πολυάριθμον πληθὺν συναγόμενοι.
barbarians into numerous host gathered

9 Θριαμβεύσαντι δὲ τῷ Νικηφόρῳ καὶ παρὰ τοῦ δήμου
to-having-triumphed and — to-Nikephoros and by the people
θαυμαστωθέντι παντός, ὁ αὐτοκράτωρ Ῥωμανὸς δωρεάς
having-been-admired all the emperor Romanos gifts
τε φιλοτίμους δωρεῖται, καὶ τὴν τῆς Ἀσίας αὐτῷ
both lavish gives and the — of-Asia to-him
ἐγχειρίζει ἀρχήν. ὁ δέ, τὴν τοῦ Δομεστίκου τιμὴν καὶ
entrusts command he and the of-the Domestic honor and
αὖθις ὑποζωσάμενος, τὸν βόσπορόν τε περαιωθείς, καὶ
again having-girded-on the bosporus both having-crossed and

τὰς δυνάμεις ἀγηοχώς, καὶ εἰς φάλαγγα δυσάντητον καὶ
the forces having-collected and into phalanx hard-to-face and
δυσεκβίαστον παραταξάμενος, ἤει διὰ τῆς τῶν Ἀγαρηνῶν
hard-to-force having-drawn-up went through the of-the Hagarenes
γῆς. οἷς τὴν ἔφοδον ἐνωτισθεῖσι τοῦ Νικηφόρου, οὐκ
land to-whom the attack having-heard — of-Nikephoros not
ἀνεκτὸν ἐδόκει κατὰ χώραν τε μένειν, καὶ λόχους
bearable it-seemed in place both to-remain and ambushes
καθίζειν, ἐξ ἀντιστάσεώς τε διαμάχεσθαι· ἐκτρέχειν τε
to-set from resistance both to-fight-it-out to-run-out both
πρὸς τὰ φρούρια, καὶ τὰς ἐπιδρομὰς ἐκ τῶν ἐρυμάτων
to the forts and the raids from the strongholds
ἀποτροπιάζεσθαι, ἀκροβολιζομένους κατὰ τὸ ἐγχωροῦν.
to-avert skirmishing as the possible
δεινῶς γὰρ ἐδεδοίκεισαν κατὰ συστάδην διαγωνίζεσθαι πρὸς
terribly for they-had-feared in close-combat to-fight against
ἄνδρα καρτερικὸν καὶ ἰσχυρογνώμονα. ὁ δὲ σκηπτοῦ
a-man enduring and strong-willed he and of-a-thunderbolt
δίκην τὴν περίχωρον ἐπεβόσκετο, δῃούμενος μὲν
in-the-manner the surrounding(-land) grazed-upon ravaging indeed
τὰς ἀρούρας, μυριανθρώπους δὲ κώμας ἀνδραποδιζόμενος.
the fields countless-manned and villages enslaving
ἐπεὶ δὲ τὰ ἐν ποσὶ πυρὸς καὶ μαχαίρας ἔργον πεποίητο,
when and the in feet of-fire and of-sword work he-had-made
τοῖς φρουρίοις προσβάλλει, ὧν αὐτοβοεὶ τὰ πλεῖστα
the forts he-attacks of-which at-the-first-shout the most
ἑάλω. ὅσα δὲ τούτων ἐρυμνὰ τοῖς τείχεσι καὶ τῷ
were-taken as-many-as and of-these strong with-the walls and with-the
πλήθει τῶν ἔνδον ἐτύγχανον, τούτοις ἀντεπῆγε τὰς
multitude of-the within(-men) happened-to-be against-these he-brought-up the
μηχανάς, καὶ ἀκήρυκτον ἐπέφερε πόλεμον, ἐκθύμως τοῖς
engines and implacable brought war ardently those

ὑπ᾽ αὐτὸν ἀγωνίζεσθαι προτρεπόμενος. εὐείκτως δὲ τοῖς
under him to-fight urging readily and to-the
κελεύσμασι ἐκείνου πᾶς τις ἐπείθετο. ἦν γὰρ οὐ λόγοις
commands his every one obeyed he-was for not by-words
μόνον ἐπαγωγός τε καὶ πιθανὸς πρὸς τὸ εὔψυχον, ἀλλὰ
only persuasive both and convincing for the courage but
καὶ τοῖς ἔργοις αὐτοῖς, ἐκτόπως ἀεὶ ἀγωνιζόμενος πρὸ
also by-the deeds themselves extraordinarily always fighting before
τῆς φάλαγγος, καὶ κίνδυνον τὸν ἐπιόντα ὑποδεχόμενος,
the phalanx and danger the coming receiving
καὶ κραταιῶς ἐκκρουόμενος. ᾑρηκὼς οὖν καὶ καταβαλὼν
and mightily repelling having-taken then and having-cast-down
ἐν εὐαριθμήτῳ καιρῷ τῶν Ἀγαρηνῶν ὑπὲρ τὰ ἑξήκοντα
in easily-counted time of-the Hagarenes over the sixty
φρούρια, καὶ λείαν ὅτι πλείστην συνεκφορήσας, καὶ νίκην
forts and booty as most having-carried-off and victory
ἐπιφανεστάτην καὶ οἵαν οὐκ ἄλλος ἀναδησάμενος, ἐκεῖθεν
most-illustrious and such-as not another having-bound-on from-there
τὴν δύναμιν ἀνελάμβανε, καὶ κατὰ τὰ σφῶν ἔστελλεν
the force took-up and to the their-own sent
ἤθη, ἀμύθητον τὸν πλοῦτον ἀθροίσασαν· αὐτὸς δὲ πρὸς
homes untold the wealth having-gathered he-himself and to
τὸν αὐτοκράτορα ἔθει, τῶν πόνων τὰ γέρα ληψόμενος.
the emperor ran of-the labors the prizes going-to-receive

V · THE DEATH OF ROMANOS AND THE PLOT OF JOSEPH

On the march Nikephoros hears that Romanos has died, after a hunt in Lent, of a riding spasm or, as more suspect, of hemlock from the women's quarters; his infant sons Basil and Constantine are left with their mother Theophano. Suspecting the eunuch Joseph, the parakoimomenos, Nikephoros thinks of revolt but, lacking troops, postpones it and triumphs in the city; when Joseph plans to blind him, he goes to the Great Church and the patriarch Polyeuktos. The patriarch brings him before the senate, which, against Joseph's will, makes him general of Asia on his oath to plot nothing against the children.

Ἄρτι δὲ μεσοῦντι τὴν ὁδοιπορίαν τῷ στρατηγῷ φήμη
just and halfway-through the journey to-the general report
τις ὑπηντίαζε, τὴν ἐντεῦθεν ἐκδημίαν τοῦ ἄνακτος
a-certain met the from-here departure of-the lord
Ῥωμανοῦ διαγγέλλουσα. ὁ δέ, τῷ ἀπροσδοκήτῳ τῆς φήμης
Romanos announcing he and by-the unexpectedness of-the report
ἐκταραχθείς, ἐπέσχε τε τὴν διαπορείαν, καὶ κατὰ χώραν
troubled checked both the march and in place
ὑπέμενε. λέγεται δὲ τοῦτον τὸν τρόπον ἐκπλῆσαι τὸν βίον
remained it-is-said and this the way to-have-ended the life
τὸν αὐτοκράτορα Ῥωμανόν. ἐπειδὴ παρειληφὼς τὴν ἀρχὴν
the emperor Romanos since having-taken-over the rule
ἐπιεικῆ τε καὶ μέτριον αὑτὸν καὶ εὐεργετικὸν τῷ ὑπηκόῳ
fair both and moderate himself and beneficent to-the subject(-people)
παρείχετο, ὑποδύντες τινὲς καὶ μετελθόντες τὸν ἄνθρωπον,
he-showed having-crept-in some and having-courted the man
μοχθηροί τε καὶ δοῦλοι γαστρὸς καὶ τῶν ὑπὸ
wicked both and slaves of-belly and of-the(-things) under
γαστέρα, διαφθείρουσι τὸν καλοκἀγαθὸν τρόπον τοῦ νέου,
belly corrupt the noble character of-the young-man
τρυφὴν ὑποτιθέντες καὶ ἀκόλαστον ἡδονήν, διεγείροντές
luxury suggesting and licentious pleasure rousing

τε πρὸς ἀλλοκότους ἐπιθυμίας τούτου τὴν ὄρεξιν. ἐντεῦθεν
and to strange desires his the appetite thence
παρὰ τὸν καιρὸν τῶν νηστειῶν, ἃς πρὸς κάθαρσιν
during the time of-the fasts which for purification
ψυχῶν καὶ ποδηγίαν τῶν κρειττόνων ἐξεῦρον ἄνδρες
of-souls and guidance to-the better found-out men
θεοφορούμενοι, παρειληφότες τὸν Ῥωμανὸν οἱ λοιμοί, ἐπὶ
God-inspired having-taken — Romanos the pests to
θηρείαν ἐλάφων ἴενται, ἐν δυσβάτοις ἐλαύνοντες ὄρεσιν.
hunting of-deer go in hard-to-traverse driving mountains
ἐκεῖθέν τε ἀναζεύξαντες τὸν αὐτοκράτορα συγκομίζουσι
from-there and having-returned the emperor they-bring-back
περιημεκτέοντα καὶ τὰ ἐπιθανάτια πνέοντα. καί τινες μὲν
in-agony and the death-throes breathing and some indeed
ἐκ τῆς ἀκαίρου φασὶν ἱππασίας σπασμὸν ἐγγενέσθαι τούτῳ
from the untimely they-say riding spasm to-have-arisen in-him
περὶ τὰ καίρια. ὡς δὲ ἡ τῶν πλειόνων ὑπόνοια ἔχει,
in the vital(-parts) as but the of-the more suspicion holds
κώνειον αὐτὸν πεπωκέναι πρὸς τῆς γυναικωνίτιδος. εἴτε
hemlock him to-have-drunk from the women's-quarters whether
δὲ ἐκείνως, εἴτε καὶ οὕτως, ἀμείβει τὸν βίον ὁ Ῥωμανὸς
and that-way or also this-way exchanges the life — Romanos
τὴν τῆς ἡλικίας ἐλαύνων ἀκμήν, τρεῖς ἐνιαυτοὺς πρὸς πέντε
the of-the age driving prime three years with five
μησὶ τὴν αὐτοκράτορα διϊθύνας ἀρχήν. τούτου δὲ ἐξ
months the imperial having-directed rule he and from
ἀνθρώπων γεγονότος, τὴν τῆς βασιλείας ἀρχὴν παρά τε
men having-gone the of-the empire rule from both
τοῦ πατριαρχοῦντος Πολυεύκτου καὶ τῆς συγκλήτου βουλῆς
the patriarch Polyeuktos and the senatorial council
οἱ ἐκείνου παῖδες Βασίλειος καὶ Κωνσταντῖνος, νήπιοι
the his sons Basil and Constantine infants

κομιδῇ τελοῦντες καὶ τιθηνούμενοι, μετὰ Θεοφανοῦς τῆς
quite being and being-nursed with Theophano the
μητρὸς ἐγχειρίζονται· ἥτις ἐξ ἀσήμου μὲν γένους φυεῖσα,
mother are-entrusted-with who from obscure indeed family born
κάλλει δὲ καὶ σώματος ὥρᾳ πασῶν τῶν τότε γυναικῶν
in-beauty but and of-body in-bloom all the then women
ὑπερφέρουσα, Ῥωμανῷ συνηρμόσθη τῷ αὐτοκράτορι. ὁ
surpassing to-Romanos was-joined the emperor —
δὲ Νικηφόρος (αὖθις γὰρ πρὸς τὸν εἱρμὸν ἐπάνειμι τῆς
and Nikephoros again for to the sequence I-return of-the
διηγήσεως) τὴν μεταβολὴν τῆς μεγίστης ἀρχῆς διενωτισθείς,
narrative the change of-the greatest rule having-heard
παντοδαπός τις ἦν, ἄλλοτε ὑπ᾽ ἄλλων λογισμῶν
of-every-sort a-certain he-was at-one-time by other thoughts
διαταραττόμενος. τὸ γὰρ ἄπιστον τῶν πραγμάτων καὶ
troubled the for untrustworthiness of-the affairs and
τὸ παλίντροπον τῆς τύχης καὶ ἄστατον οὐκ εἴα τὸν
the changeableness of-the fortune and instability not allowed the
ἄνθρωπον ἀτρεμεῖν, ὑπειδόμενον μάλιστα τὴν τοῦ Ἰωσὴφ
man to-be-at-rest suspecting most the — of-Joseph
δυναστείαν, ὅς γε ἐκτομίας ὢν καὶ μάλιστα παρὰ τὴν
power who at-least eunuch being and most in the
βασιλείαν ἑστίαν δυνάμενος (τῷ τοῦ παρακοιμωμένου γὰρ
imperial hearth being-powerful with-the of-the parakoimomenos for
ἀξιώματι ἐσεμνύνετο), δυσμενῶς τῷ Νικηφόρῳ διέκειτο.
dignity he-prided-himself hostilely — to-Nikephoros was-disposed
Ἔγνω γοῦν αὐτίκα νεωτερίζειν· ἀλλὰ δύναμιν ἐκ 11
he-resolved at-any-rate at-once to-make-revolt but force from
τοῦ παρατυχόντος ἀποχρῶσαν οὐκ ἐπαγόμενος (τὰ
the chance sufficient not bringing the
γὰρ στρατεύματα πρὸς τὰς σφῶν ἐνεγκαμένας αὐτοῦ
for armies to the their-own native(-lands) he

προστεταχότος ἀπῄεσαν), ἐδεδοίκει τὸν τοσοῦτον ἀγῶνα
having-ordered went-off he-feared the so-great contest
τέως ἐπαποδύσασθαι. ἔδοξεν οὖν ὑπερθέσθαι τὸν
meanwhile to-strip-for it-seemed then to-postpone the
νεωτερισμόν· εἰσελάσαντι δὲ εἰς τὸ Βυζάντιον,
revolt (for-him)-having-driven-in and into — Byzantium
καὶ κατάγοντι τὸν θρίαμβον, εἴγε τὴν στρατιὰν οἱ
and leading the triumph if-indeed the army those
κρατοῦντες αὐτῷ ἐγχειρίσοιεν (ᾔδει γὰρ αὐτοῦ περιόντος
ruling to-him should-entrust he-knew for him surviving
μὴ ἂν ἄλλον καρτερῆσαι πρὸς τὴν τῶν βαρβάρων
not — another to-endure against the of-the barbarians
ἀντίστασιν παρατάττεσθαι)· ἀναλαβεῖν τε τὰς δυνάμεις,
resistance to-be-arrayed to-take-up both the forces
καὶ λελογισμένως καὶ ἀνεπισφαλῶς ὑπὲρ τῶν ὅλων
and deliberately and securely for the whole
διαγωνίσασθαι. οὕτω δὴ γνωματεύσας καὶ βουλευσάμενος
to-fight-it-out thus indeed having-judged and having-deliberated
πρὸς τὸ Βυζάντιον ἴεται· ἀσμενέστατά τε ὑπὸ τοῦ δήμου
to — Byzantium goes most-gladly both by the people
καὶ τῆς συγκλήτου δεχθείς, καὶ ὅσην ἐπήγετο λείαν
and the senate received and as-much-as he-brought booty
θριαμβεύσας, καὶ τῷ δημοσίῳ ταμείῳ τὸν βαρβαρικὸν
having-triumphed and in-the public treasury the barbarian
πλοῦτον καταθέμενος, ἐφ' ἑστίας ἡσύχαζεν. ὁ δὲ Ἰωσὴφ
wealth having-deposited at hearth he-kept-quiet — but Joseph
(ἐδεδοίκει γὰρ τὴν ἐπὶ τὸ Βυζάντιον τοῦ Νικηφόρου
feared for the in — Byzantium — of-Nikephoros
διατριβήν, μή τι κατὰ τοῦ κράτους νεωτερίσειε,
stay lest something against the sovereignty he-might-revolt
μάλιστα τοῦ στρατιωτικοῦ ἐκτόπως αὐτὸν στέργοντος
most the military extraordinarily him loving

καὶ τοῦ δήμου θαυμάζοντος, διά τε τὰ τρόπαια καὶ τὰ
and the people admiring because-of both the trophies and the
κατὰ πολέμους ἀνδραγαθήματα) ἐπὶ τὸ ἀνάκτορον τοῦτον
in wars deeds-of-valor to the palace him
ἐκαλεῖτο, εἴ πως αὐτὸν ψιλὸν τῆς δυνάμεως ἀπειληφὼς
summoned if somehow him stripped of-the force having-got
τῶν τε ὄψεων στερήσῃ καὶ ὑπερορίᾳ παραπέμψῃ.
of-the both eyes he-might-deprive and to-exile might-send
ἀλλὰ τὸ κακοῦργον καὶ περιπόνηρον τοῦ Ἰωσὴφ ὁ
but the malice and utter-wickedness — of-Joseph the
στρατηγὸς συνιεὶς (δραστήριος γὰρ ἐς τὸ ἀκριβὲς ἦν,
general understanding energetic for to the exact he-was
καὶ καταστοχάσασθαι κακοτροπίαν ἀνδρὸς προχειρότατος),
and to-guess (the)-malignity of-a-man most-ready
ἐς τὴν μεγάλην ἐκκλησίαν φοιτᾷ, καὶ τῷ ἱεραρχοῦντι
to the great church goes and with-the high-priest
Πολυεύκτῳ εἰς λόγους ἐλθών, ἀνδρὶ τήν τε θείαν καὶ
Polyeuktos into words having-come a-man the both divine and
ἀνθρωπίνην φιλοσοφίαν εἰς ἄκρον ἐκμελετήσαντι, καὶ βίον
human philosophy to height having-practiced and life
αἱρετισαμένῳ ἐκ νεότητος μοναδικόν τε καὶ ἄσκευον, καὶ
having-chosen from youth monastic both and unencumbered and
παῤῥησίαν ὑπὲρ ἄνθρωπον κεκτημένῳ, ἣν οὐχ ἡ φύσις
frankness beyond man having-acquired which not the nature
ἐνεποίει αὐτῷ μόνον, τομίᾳ γε ὄντι καὶ ἐς ἔσχατον γῆρας
produced in-him only eunuch at-least being and to extreme old-age
ἐλάσαντι, ἀλλὰ καὶ ἡ ἀκτησία, καὶ τὸ ἀνεπίληπτον, καὶ τὸ
having-come but also the poverty and the blamelessness and the
λιτὸν τοῦ βίου καὶ ἀπέριττον· τούτῳ δὴ τῷ Πολυεύκτῳ,
simplicity of-the life and plainness to-this indeed — Polyeuktos
ἐπεὶ εἰς λόγους ἦλθεν ὁ Νικηφόρος, "καλάς γε", ἔφη,
when into words came — Nikephoros fine at-least he-said

“παρὰ τοῦ τῶν βασιλείων κατάρχοντος τῶν τοσούτων
from the of-the palace ruler of-the such
ἀγώνων καὶ πόνων καρποῦμαι τὰς ἀμοιβάς· ὅς γε τὸν
contests and labors I-reap the rewards who at-least the
ἀλάθητον καὶ μέγαν ὀφθαλμὸν λήσειν οἰόμενος, τὰ Ῥωμαϊκά
unescapable and great eye to-escape thinking the Roman
μοι πλατύνοντι ὅρια ταῖς τοῦ κρείττονος εὐοδώσεσιν,
for-me widening boundaries with-the of-the stronger prosperings
οὐκ ἐνάρκησε σκαιωρήσασθαι θάνατον, μηδέπω μηδὲν εἰς
not shrank to-contrive death never-yet nothing against
τὸ κοινὸν πλημμελήσαντι, συνεισενεγκόντι δὲ μᾶλλον
the commonwealth having-offended having-contributed and rather
ὅσα μή τις τῶν νῦν τελούντων ἀνδρῶν, καὶ τοσαύτην
as-much-as not anyone of-the now being men and so-much
μὲν χώραν τῶν Ἀγαρηνῶν πυρὶ καὶ μαχαίρᾳ δῃωσαμένῳ,
indeed land of-the Hagarenes with-fire and sword having-ravaged
τηλικαύτας δὲ πόλεις ἐκ βάθρων κατεριπώσαντι. ἐγὼ δὲ
so-great and cities from foundations having-thrown-down I and
ἠξίουν, τὸν συγκλητικὸν ἄνδρα ἐπιεικῆ τε εἶναι καὶ μέτριον,
thought-fit the senatorial man fair both to-be and moderate
καὶ μή τινα δυσμεναίνειν, καὶ ταῦτα μάτην, ἀπέραντα.”
and not anyone to-bear-ill-will and these-things vainly endlessly

12 Τούτων τῶν ῥημάτων ὁ πατριάρχης ἐνωτισθείς, καὶ
these the words the patriarch having-heard and
τὴν προθυμίαν ἀναφλεχθείς, εἰς τὰ βασίλεια εἰσελαύνει,
the zeal having-been-inflamed into the palace drives-in
τὸν Νικηφόρον ἔχων συνεφεπόμενον· καὶ τὴν σύγκλητον
— Nikephoros having following and the senate
εἰσκαλέσας, “οὐ δίκαιον,” ἔφη, “τοὺς ὑπὲρ τῆς Ῥωμαϊκῆς
having-called-in not just he-said those for the Roman
εὐετηρίας ἑαυτῶν ἀφειδήσαντας, καὶ πόνους καὶ κινδύνους
prosperity themselves having-not-spared and labors and dangers

καθυπομείναντας, εὐγνώμονάς τε καὶ μετρίους ἑαυτοὺς
having-endured reasonable both and moderate themselves
παρεχομένους πρὸς τὸ ὁμόφυλον, προπηλακίζειν καὶ ἀτιμοῦν,
showing toward the kindred to-insult and to-dishonor
κυδαίνειν δὲ μᾶλλον καὶ ταινιοῦν. εἰ οὖν πείθεσθέ μοι τὰ
to-glorify but rather and to-crown if then you-obey me the
λῴονα συμβουλεύσοντι, τὴν ἐμὴν αὐτίκα γνώμην ἐρῶ.
better(-things) going-to-counsel the my at-once opinion I-will-tell
δεῖ Ῥωμαίους ὄντας ἡμᾶς, καὶ θείοις ῥυθμιζομένους
it-is-needful Romans being us and by-divine being-ordered
προστάγμασι, τὰ νεογνὰ τοῦ αὐτοκράτορος Ῥωμανοῦ
commands the newborn of-the emperor Romanos
τέκνα, ἐπεὶ πρὸς ἡμῶν καὶ τοῦ δήμου παντὸς ἀνερρέθησαν
children since by us and the people all they-were-proclaimed
αὐτοκράτορες, εἰς τὴν προγονικὴν τιμὴν συντηρεῖν καὶ σέβας
emperors in the ancestral honor to-keep and reverence
ἀπονέμειν, οἷον καὶ τοῖς προγόνοις αὐτῶν. ἐπεὶ δὲ καὶ τὰ
to-render such-as also to-the ancestors their since and also the
βαρβαρικὰ φῦλα ληΐζεσθαι τὴν Ῥωμαϊκὴν οὐκ ἀπέχονται
barbarian tribes to-plunder the Roman not refrain
γῆν, συμβουλεύω, τὸν ἄνδρα τουτονὶ (τὸν Νικηφόρον
land I-counsel the man this-here — Nikephoros
ὑποδεικνύς), ἀγχίνουν τε ὄντα καὶ ἀγαθὸν τὰ πολέμια,
pointing-out shrewd both being and good in-the warlike(-things)
καὶ νίκας ὅτι πλείστας ἐπανῃρημένον, ὃ καὶ αὐτοὶ
and victories as most having-won which also yourselves
συνομολογεῖτε, καὶ τοῦτον τῶν ἄλλων ἐκθειάζετε μάλιστα,
agree and him than-the others you-extol most
ὅρκοις κατασφαλισαμένους μή τι κατὰ τοῦ κράτους
with-oaths having-secured not something against the sovereignty
καὶ τῆς βουλῆς μελετῆσαι ἀβούλητον, ἀνειπεῖν αὐτοκράτορα
and the council to-plan unwelcome to-proclaim plenipotentiary

στρατηγόν, καὶ τὰς τῆς Ἀσίας δυνάμεις ἐγχειρίσαι αὐτῷ,
general and the — of-Asia forces to-entrust to-him
ὡς ἀμύνοιτο καὶ ἀναχαιτίζοι τῶν ἀλλοφύλων τὴν
so-that he-might-ward-off and might-rein-in of-the foreigners the
ἔφοδον. ταύτην γὰρ αὐτῷ καὶ ὁ αὐτοκράτωρ Ῥωμανός, ἔτι
attack this for to-him also the emperor Romanos still
βιούς, ἐνεχείρισε τὴν τιμήν, καὶ τελευτῶν ἐν ταῖς διαθήκαις
living entrusted the honor and dying in the testaments
ὡρίσατο, μὴ μετακινεῖν τῆς τοιαύτης στρατηγίας
ordained not to-remove from-the such generalship
εὐγνωμονοῦντα τὸν ἄνθρωπον." ταύτην ἀνειπόντος τοῦ
being-well-disposed the man this having-spoken the
πατριάρχου τὴν γνώμην, ἐπεψήφιζέ τε ἡ βουλή, συνήνει
patriarch the opinion voted and the council agreed
δὲ καὶ αὐτὸς ὁ παρακοιμώμενος Ἰωσήφ, οὐχ ἑκών, τῇ
and also himself the parakoimomenos Joseph not willing by-the
δὲ ῥοπῇ τῆς συγκλήτου ἐκβιαζόμενος. καὶ δὴ ὅρκοις
but weight of-the senate being-forced and indeed with-oaths
φρικωδεστάτοις τὸν Νικηφόρον ἐμπεδωσάμενοι, μή ποτε
most-awful — Nikephoros having-bound not ever
περιόντων τῶν νεογνῶν παίδων καὶ βασιλέων ἀπαίσιόν
surviving the newborn children and emperors ill-omened
τι κατὰ τοῦ σφῶν κράτους βουλεύσασθαι· ἐπομοσάμενοι
something against the their sovereignty to-plan having-sworn
δὲ καὶ αὐτοί, μηδένα τῶν ἐν τέλει ἀπεναντίας τῆς ἐκείνου
and also themselves no-one of-those in office contrary to-the his
γνώμης μετακινεῖν, ἢ πρὸς μείζονα ἐπαναβιβάζειν ἀρχήν,
opinion to-remove or to greater to-promote office
μετὰ δὲ καὶ τῆς αὐτοῦ διασκέψεως κοινῇ γνώμῃ διευθύνειν
with and also the his consideration by-common opinion to-direct
τὰ τοῦ κοινοῦ, αὐτοκράτορα στρατηγὸν τῆς Ἀσίας
the(-affairs) of-the commonwealth plenipotentiary general — of-Asia

τοῦτον ἀνακηρύξαντες τόν τε σύλλογον διαλύουσι, καί,
him having-proclaimed the both assembly dissolve and
τῶν βασιλείων ἀπάραντες, ἐφ' ἑστίας ἀπῄεσαν ἕκαστοι.
from-the palace having-departed to hearths went-off each

BOOK III

VI · NIKEPHOROS PROCLAIMED

Joseph, afraid of Nikephoros, writes to John Tzimiskes offering him the throne if he will send Nikephoros to him a prisoner. John shows his cousin the letter and urges him to strike first. At Caesarea, at dawn at the start of July, the officers surround Nikephoros' tent with drawn swords and acclaim him emperor. He pleads the deaths of his wife and his son Bardas, but accepts and puts on the red sandals.

Ἤδη δὲ τοῦ ἦρος μεσοῦντος, καὶ τοῦ φωσφόρου πρὸς 1
already and the spring being-at-mid and the light-bringer toward
τὸν ἀρκτικὸν πόλον ἠρέμα ὑπανακάμπτοντος, καὶ περὶ
the arctic pole gently turning-back and around
τὸν ταῦρον τὴν διφρείαν ἐλαύνοντος, τοῦ Βυζαντίου
the Bull the chariot driving — from-Byzantium
ἀπάρας ὁ Νικηφόρος ἐπὶ τὴν καταντιπέραν τῆς Ἀσίας
having-set-out — Nikephoros to the opposite — of-Asia
χώραν καταίρει· καὶ πρὸς τὴν Καππαδοκῶν ἀφικόμενος
land crosses and to the of-Cappadocians having-come
(Τρωγλοδῦται τὸ ἔθνος τὸ πρόσθεν κατωνομάζετο, τῷ ἐν
Troglodytes the nation the formerly was-named by-the in
τρώγλαις καὶ χηραμοῖς καὶ λαβυρίνθοις, ὡσανεὶ φωλεοῖς καὶ
holes and caves and labyrinths as-if dens and
ὑπιωγαῖς, ὑποδύεσθαι), καὶ τὴν σκηνὴν ἐκεῖσε πηξάμενος,
underground-passages to-creep-in and the tent there having-pitched

πανταχόσε διαγράμματα ἔστελλε, τὸν στρατὸν πανσυδὶ ὡς
everywhere dispatches sent the army in-full-force to
αὐτὸν συνεγείρων καὶ ἐκκαλούμενος. ἐν ᾧ δὲ συνήρχετο
himself rousing and calling-out in which and were-assembling
τὰ στρατεύματα, τοὺς ἀμφ' ἑαυτὸν ἐξήσκει τὰ πολέμια,
the armies those about himself he-trained-in the warlike(-things)
καὶ τὸν θυμὸν ἔθηγε, καὶ ἐπερῥώννυε ταῖς καθ' ἡμέραν
and the spirit whetted and strengthened by-the per day
μελέταις, καὶ τὴν ἐνόπλιον ἐξεπαίδευε περιδίνησιν, θαμὰ ταῖς
practices and the armed trained-in wheeling often to-the
σάλπιγξιν ἐγκελευόμενος ἐπηχεῖν, καὶ τὰ τύμπανα παταγεῖν,
trumpets ordering to-sound and the drums to-beat
καὶ ἀλαλάζειν τὰ κύμβαλα, ἐφ' ἵπποιν τε ὑπεράλλεσθαι, καὶ
and to-clash the cymbals on horses both to-leap-over and
τόξοις βάλλειν κατὰ σκοπόν, καὶ ἀκοντίζειν εὐστοχώτατα·
with-bows to-shoot at a-mark and to-throw-javelins most-accurately
καὶ οὐδὲν ὅ τι παρεῖτο τούτῳ τῶν πρὸς τὸ πολεμεῖν
and nothing what — was-neglected by-him of-the for the to-fight
ἐξευρημένων. ἐν ᾧ δὲ ὁ στρατηγὸς ἐξεπαίδευε τὸν στρατόν,
devised in which and the general trained the army
καὶ τὴν ἄφιξιν τῆς λοιπῆς στρατιᾶς ἐξεδέχετο (δεδογμένον
and the arrival of-the remaining army awaited resolved
γὰρ ἦν αὐτῷ, κατὰ τοῦ Χαμβδᾶν καὶ τῶν Ταρσέων
for it-was for-him against — Chambdas and the Tarsians
ἐκστρατεύειν ὡς μάλιστα), ὁ παρακοιμώμενος Ἰωσήφ, τὸ
to-march as most the parakoimomenos Joseph the
τοῦ Νικηφόρου μεμεριμνημένον καὶ λελογισμένον ἐννοῶν,
— of-Nikephoros thoughtfulness and calculation considering
καὶ προσέτι τὸ ἀνδρικὸν αὐτοῦ καὶ γενναῖον παράστημα,
and besides the manly his and noble spirit
ὑπειδόμενός τε, μή πως τῆς στρατιᾶς συναλισθείσης
suspecting and lest somehow the army having-gathered

περὶ αὐτὸν νεώτερόν τι σκαιωρήσοιτο, ἐπάλλετό
around him new something he-might-contrive was-shaken
τε τὴν καρδίαν καὶ τῆς ἀβουλίας αὑτὸν κατεμέμφετο,
both in-the heart and for-the folly himself blamed
ὅπως ζωγρίαν κατέχων ὡς ἐν δικτύῳ αἱμάτων ἄνδρα οὐ
how alive holding as in a-net of-bloodshed a-man not
κατειργάσατο, ἀλλ᾽ ἔλαθε τοσαύτῃ πανοπλίᾳ τοῦτον
he-had-destroyed but he-had-unawares with-such full-armor him
ὀχυρωσάμενος. συννοίας οὖν ὑπόπλεως γεγονώς, ἠρεμεῖν οὐκ
having-armed of-anxiety then full having-become to-be-at-rest not
ἠνείχετο, ἀλλ᾽ ἀβίωτον τὸν βίον ἐτίθετο. ἀνασκοποῦντι δὲ
he-endured but unlivable the life he-made to-examining and
τούτῳ καὶ πολλοὺς διελίττοντι λογισμούς, τίνα τὸν τρόπον
to-this-man and many revolving thoughts what the way
τῆς τοσαύτης δυναστείας μετακινήσῃ τὸν στρατηγόν, μία
from-the such power he-might-remove the general one
τις ἐσῄει μηχανή, δι᾽ ἧς ᾤετο τὴν ἐκείνου ἀρχήν, ὡσεί
some came contrivance through which he-thought the his rule as-if
τινα πέλεκυν τῷ αὐχένι προσεπικειμένην, ἀποσκευάσασθαι.
some axe on-the neck lying to-get-rid-of
Τὸν Μαριανὸν οὖν εἰσκαλέσας, ἄνδρα μὲν τῷ τῶν 2
— Marianos then having-called-in a-man indeed with-the of-the
πατρικίων τετιμημένον ἀξιώματι καὶ τῶν Ἰταλικῶν
patrikioi honored dignity and the Italian
στρατευμάτων ἤδη κατάρξαντα, εὐρίπιστον δὲ τὴν ἄλλως
armies already having-commanded easily-fanned but — otherwise
καὶ θερμουργόν, ἐξεῖπε τὸ ἀπόῤῥητον, ἐν παραβύστῳ που
and hot-headed he-told the secret in corner somewhere
κοινολογησάμενος, καί, "εἴ μοι," φησί, "πεισθεὶς τὴν
having-conferred and if to-me he-says having-been-persuaded the
τῆς ἀνατολῆς ἀναδέξῃ ἀρχήν, αὐτοκράτορά σε θᾶττον
of-the east you-take-up command emperor you quickly

ἀποφανῶ, καὶ ἐπὶ τῶν βασιλικῶν θρόνων ἐπαναβιβάσω.”
I-will-declare and on the imperial thrones I-will-raise-up
“εὐφήμει,” ἔφη πρὸς τὸν λόγον ὁ Μαριανός· “πίθηκον
hush he-said to the word — Marianos an-ape
διερεθίζων καὶ προτρεπόμενος καθωπλισμένῳ γίγαντι
provoking and urging an-armed giant
διαμάχεσθαι, ὃν οὐ μόνον τὰ πρόσοικα φῦλα πέφρικε
to-fight whom not only the neighboring tribes dread
τῶν ἐθνῶν, ἀλλὰ καὶ ὅσα ἀνίσχων τε καὶ δυόμενος ὁ
of-the nations but also as-many-as rising both and setting the
ἥλιος ἐφορᾷ. ἀλλ’ εἰ δοκεῖ συνεισενεγκεῖν τινα γνώμην
sun looks-upon but if it-seems-good to-contribute some counsel
ἀμηχανοῦντι καὶ σκυθρωπάζοντι, αὐτίκα ἐρῶ. τὸν Ἰωάννην,
to-one-at-a-loss and sullen at-once I-will-say — John
ὃν κικλήσκουσι Τζιμισκῆν, οἶσθα τὸν ἄνδρα φιλότιμόν τε
whom they-call Tzimiskes you-know the man ambitious both
ὄντα καὶ λίαν φιλόνικον, καὶ ἀγαθὸν τὰ πολέμια· ὃν
being and very contentious and good in-the warlike(-things) whom
δεύτερον μετά γε τὸν στρατηγὸν ἡ στρατιωτικὴ φάλαγξ
second after at-least the general the military phalanx
τίθεται καὶ τιμᾷ. τὴν τῶν στρατευμάτων οὖν, εἰ δοκεῖ,
puts and honors the of-the armies then if it-seems-good
τούτῳ ἐπίτρεψον ἀντίληψιν· καί, οἶμαι, παραβολώτατος
to-this-man entrust charge and I-think most-reckless
ὢν ὁ ἀνὴρ καὶ τολμητίας ἐπιεικῶς, ὑποστήσεται τὸ
being the man and daring fairly will-undertake the
ἐγχείρημα· καὶ ᾗ ἂν ἡγοῖτο, ἕψεται ἡ πληθύς, καὶ
enterprise and wherever — he-may-lead will-follow the host and
τὸ δοκοῦν σοι περαιωθήσεται. ἄλλως δὲ μὴ οἴου σὺ
the seeming to-you will-be-accomplished otherwise but not think you
κατασείειν πύργον ἀτίνακτόν τε καὶ ἀδιάσειστον.” ταύτην
to-shake tower unshakable both and unmovable this

δεξάμενος ὁ Ἰωσὴφ τὴν εἰσήγησιν, τοὺς ἐξ αἵματος
having-received — Joseph the suggestion those by blood
Νικηφόρῳ προσήκοντας, καὶ τοὺς ἄλλους ἀνημμένους αὐτῷ
to-Nikephoros related and the others attached to-him
τῶν ἀξιωμάτων τε παγανοῖ, καὶ εἰς ὑπερορίαν
from-the dignities both he-reduces-to-civilians and into exile
ἐκπέμπει· γραμματεῖον δὲ σφραγῖσιν ἐνσημηνάμενος τῷ
sends a-letter and with-seals having-sealed to-the
προῤῥηθέντι Ἰωάννῃ στέλλει ἐν τοῖς πατρικίοις τελοῦντι
aforesaid John sends among the patrikioi being
καὶ στρατηγοῦντι τῶν ἀνατολικῶν, ἀνδρὶ ῥωμαλέῳ καὶ
and commanding the Anatolikoi a-man strong and
νεανικῷ, καὶ τὴν ὁρμὴν δυσάντητον κεκτημένῳ καὶ
youthful and the attack hard-to-face having and
δυσεκβίαστον. ἡ δὲ τοῦ γραμματείου ὑφήγησις ταυτὶ
hard-to-force the and of-the letter purport these-here
διηγόρευε· "τὸ δύσνουν καὶ κακόηθες τοῦ Φωκᾶ ὑπειδόμενος,
declared the ill-will and malignity — of-Phokas suspecting
καὶ τὴν κακοῦργον σκέψιν, ἣν ἐκεῖνος τρέφει καθ' ἑαυτόν,
and the wicked design which he nurses by himself
ἐκκόψαι βουλόμενος, ἔγνων ἀνακαλύψαι τὸ ἀπόῤῥητον
to-cut-off wishing I-decided to-uncover the secret
τῇ περιφανείᾳ σου, εἴ πως τὴν ἐκείνου δυσκάθεκτον
to-the illustriousness your if somehow the his unrestrainable
ὁρμήν, σοῦ συνεργοῦντος, ἀναχαιτίσωμεν. βούλεται γὰρ
rush you working-with we-may-rein-in he-wishes for
ὅσον οὔπω τυραννήσειν, καὶ τὴν τῆς βασιλείας ἀρχὴν
all but to-make-himself-tyrant and the of-the empire rule
σφετερίσασθαι. ἀλλ' αὐτὸς τὴν ἔκσπονδον ἐκείνου ἐκκόπτων
to-appropriate but I-myself the truce-breaking his cutting-off
ὁρμήν, τὴν τῶν στρατευμάτων πρόνοιαν ἐξαυτῆς ἐκείνου
rush the of-the armies care forthwith from-him

μὲν ἀφαιροῦμαι, τῇ δὲ σῇ ἀνατίθημι ἐνδοξότητι. μετὰ
indeed I-take-away to-the and your I-assign glory after
μικρὸν δὲ σὲ καὶ εἰς αὐτὴν ἀναβιβάσω τὴν τῆς βασιλείας
a-little and you also to very I-will-raise the of-the empire
περιωπήν. σὺ δὲ τὸν ὑπέρμαχον καὶ ἀλαζόνα Φωκᾶν
height you and the champion and braggart Phokas
δεσμώτην ἀποφηνάμενος θᾶττον παράπεμψον ὡς ἡμᾶς."
prisoner having-declared quickly send to us

3 Τὸ τοιοῦτον οὖν γραμματεῖον ὁ Ἰωάννης ἀπειληφώς,
the such then letter — John having-received
ἀνειλήσας τε καὶ τὴν ἐν αὐτῷ πραγματείαν ἀναλεξάμενος
having-unrolled both and the in it business having-read-through
(τὴν τῆς ἀνατολῆς δὲ αὐτῷ δυναστείαν, καὶ αὖθις
the of-the east and to-him power and again
τὴν τῶν ὅλων ἀρχὴν καὶ διακατοχὴν τούτων, ὥς μοι
the of-the whole rule and possession of-these as by-me
ἤδη εἴρηται, κατεπηγγέλλετο ἡ γραφή, εἴ γε τῆς
already has-been-said promised the writing if at-least from-the
στρατιᾶς μετακινήσοι τὸν Νικηφόρον καὶ τοῦ πλήθους
army he-should-remove — Nikephoros and from-the multitude
ἀποσκευάσοιτο), τῶν τόπων ἀπάρας ἐν οἷς ἀνεστρέφετο,
should-get-rid-of from-the places having-set-out in which he-was-staying
ἠπείγετο πρὸς τὸν στρατηγόν. προελθὼν δὲ παρὰ τὴν
he-hastened to the general having-come and beside the
σκηνὴν τὴν στρατήγιον, καὶ αὐτῷ παρακαθισάμενος
tent the general's and beside-him having-sat-down
(ἀνεψιὸς γὰρ πρὸς μητρὸς ὁ Ἰωάννης τῷ Νικηφόρῳ
cousin for on mother's(-side) — John — to-Nikephoros
ἐχρημάτιζε), "σὺ μέν," ἔφη, "ὦ γενναῖε, βαθὺν ὕπνον
was you indeed he-said O noble-one deep sleep
καθεύδεις, καὶ ὑπὲρ τὸν Ἐνδυμίωνα, ὥς φασιν· ὁ δὲ
you-sleep and beyond — Endymion as they-say the and

τῆς βασιλικῆς κατάρχων αὐλῆς, ὁ χρηστὸς Ἰωσήφ,
of-the imperial ruler court the excellent Joseph
τὸν σὸν μανιώδει καὶ μιαφόνῳ ῥοπῇ κατεργάζεται
the your with-maniacal and bloodthirsty force works-out
θάνατον, καί, ὅσον τὸ ἐπ᾽ ἐκείνῳ, ὁ τῶν Ῥωμαίων
death and as-much-as the on him the of-the Romans
ἀκαταγώνιστος ἐξείργασται στρατηγός, καὶ τὸ τούτου
unconquerable is-done-for general and the his
αἷμα ἐκκέχυται· καὶ ταῦτα παρ᾽ ἀνδραρίου (ὦ πόνοι,
blood has-been-poured-out and that by a-manikin O labors
καὶ μάχαι, καὶ ἀρετή) ἀμφιβόλου τε καὶ ἀνάνδρου,
and battles and virtue of-ambiguous both and unmanly
καὶ γυναίου τεχνητοῦ, καὶ πλείω τῶν ἐν τῇ
and of-a-woman artificial and more than-the(-things) in the
γυναικωνίτιδι δρωμένων εἰδότος μηδέν. ἀλλὰ διανάστα, ὦ
women's-quarters being-done knowing nothing but rise-up O
᾽τάν, εἰ δοκεῖ· καὶ γενοίμεθα τῶν ἡμῶν λογισμῶν, ὅπως
good-sir if it-seems-good and may-we-become of-the our thoughts so-that
μὴ ὡς ἀνδράποδα παραπολώμεθα, γενναῖον δέ τι καὶ
not like slaves we-may-perish noble but something and
ἀνδρικὸν ἐργασοίμεθα, ὡς ἂν γνῷ καὶ Ἰωσήφ, καὶ εἴ
manly we-may-do so-that — may-know also Joseph and if
τις ἄλλος εἴη τὰ ἐκείνου πρεσβεύων, μὴ πρὸς ἁπαλὰ
anyone else should-be the his(-interests) championing not against tender
καὶ σκιατραφῆ διαμιλλώμενοι γυναικάρια, πρὸς ἄνδρας δὲ
and shade-reared contending little-women against men but
ἀκαταγώνιστον κεκτημένους ἰσχύν, καὶ οὓς ἡ βάρβαρος
invincible having strength and whom the barbarian
φρίττει καὶ τέθηπε.᾽᾽ ταῦτα εἰπών, καὶ τῶν κόλπων
dreads and is-astounded-at these-things having-said and from-the bosom
τὸ γραμματεῖον ἐξενεγκών, τῷ στρατηγῷ ἐνεχείρισεν.
the letter having-brought-out to-the general handed

ὁ δὲ τοῦτο μετελθὼν καὶ τὰ ἐν αὐτῷ θυμοφθόρα καὶ
he and it having-gone-over and the in it soul-wasting and
θυμαλγῆ ἐπιγνούς, μικρὸν ἐπισχὼν καὶ λειποθυμήσας
heart-grieving(-things) having-learned a-little having-paused and having-fainted
(ἔτυχε γὰρ ἠρέμα νοσηλευόμενος τὸ σωμάτιον), εἶτ' αὖθις
he-happened for slightly being-ill the poor-body then again
ἀνενεγκὼν καί, "λέγε," φησίν, "ἀνδρειότατε, τί δεῖ
having-recovered and tell he-says bravest-one what it-is-needful
περὶ τούτου σκοπεῖν;" ὁ δέ, "καὶ αὖθις," ἔφη, "σκοπεῖν
about this to-consider he and also again he-said to-consider
λέγεις, πράττειν ὅ τι καὶ δεῖ; οὐκ ἐκνήψεις ὀψὲ
you-say to-do what — also is-needful not you-will-sober-up late
γοῦν, ὦ ἀγαθέ, οὐδὲ τὸν τοσοῦτον κάρον ἀποτινάξῃ τῶν
at-any-rate O good-man nor the such stupor you-will-shake-off from-the
ὀφθαλμῶν, ἀλλ' ἐν ἀφύκτῳ κινδύνῳ περιληφθέντας ἡμᾶς ὅ
eyes but in inescapable danger caught us what
τι καὶ δεῖ δρᾶν ἐρωτᾷς; περὶ τῶν ὅλων διακινδυνεύειν
— also is-needful to-do you-ask about the whole to-run-the-risk
φημί, τοσαύτην μὲν πανοπλίαν ἐπαγομένους, τοσαύτην
I-say such indeed full-armor bringing such
δὲ στρατιάν, ψυχῆς τε ἀνδρείᾳ σπαργῶσαν καὶ σώματος
and army of-soul both with-bravery swelling and of-body
ῥώμῃ φλεγμαίνουσαν. ἄτοπον γὰρ ἐμοὶ καὶ οὐ φορητὸν
with-strength burning absurd for to-me and not bearable
καταφαίνεται, ὑπὸ τομίου οἰκτροῦ ἐκ τῆς Παφλαγονικῆς
appears by a-eunuch pitiable from the Paphlagonian
ἐρημίας τῇ πολιτείᾳ παρεισφθαρέντος, τοὺς τῶν Ῥωμαίων
wilderness into-the state having-crept-in-to-corrupt the of-the Romans
ἄγεσθαι στρατηγούς, καὶ τῇδε κἀκεῖσε παρέλκεσθαι τῆς
to-be-led generals and here and-there to-be-dragged by-the

ῥινός, ὡς ἀνδράποδα. ἀλλ᾽ ἔπου τὴν ταχίστην, εἴ γε
nose as slaves but follow the quickest if at-least
μὴ βούλῃ ζωγρίας ληφθεὶς τὰ πήματα δεινὰ πείσεσθαι.᾽᾽
not you-wish alive taken the sufferings dire to-suffer
Τοιαύτην ἀνειπόντος τοῦ Ἰωάννου παραίνεσιν, διανέστη τε 4
such having-spoken — John exhortation rose both
πρὸς ἀλκὴν ὁ Νικηφόρος, καὶ τὰ ὅπλα καθυποδὺς τὴν
to strength — Nikephoros and the arms having-put-on the(-road)
ἐπὶ Καισαρείας ἅμα τῷ Ἰωάννῃ ἠπείγετο πανστρατί·
to Caesarea together-with — John hastened with-the-whole-army
καὶ τηνικαῦτα πηξάμενος χάρακα τὴν στρατιὰν ὑπεδέχετο.
and then having-fixed a-palisade the army received
ἐπεὶ δὲ ἐντὸς ὀλίγων ἡμερῶν ἅπαν τὸ τῆς Ἀσίας πρὸς
when and within few days all the — of-Asia to
αὐτὸν συνήθροιστο στράτευμα, ἡμέρας ἤδη διαφαυούσης,
him had-gathered army day already dawning
καὶ τῶν ἡλιακῶν ἀκτίνων ὑφαπλουμένων τῇ γῇ (Ἰούλιος
and the solar rays spreading-beneath on-the earth July
εἶχεν ἀρχήν), οἱ τὰς τοῦ στρατοῦ παρειληφότες ἡγεμονίας
had beginning those the of-the army having-taken-over commands
ἅμα τῷ στρατηγῷ Ἰωάννῃ τὰ ξίφη γυμνώσαντες καὶ
together-with the general John the swords having-bared and
τὴν στρατήγιον σκηνὴν κυκλωσάμενοι (προστεταγμένον δὲ
the general's tent having-surrounded commanded and
τοῦτο πρὸς τοῦ Ἰωάννου τοῖς στρατηγοῖς καὶ λοχαγοῖς
this by — John to-the generals and captains
ἦν, ὅς γε δεινὸν ἐποιεῖτο, εἰ ἄνδρας αἱμάτων ἀγεννὴς
it-was who at-least dreadful made(-it) if men of-blood ignoble
ἐκτομίας μετὰ νηπίων τιθηνουμένων καθυποτάσσοι, ᾗ
eunuch with infants being-nursed should-subdue as
ἂν αὐτῷ δεδογμένον εἴη), αὐτοκράτορα Ῥωμαίων καὶ
— to-him decided it-might-be emperor of-Romans and

κραταιὸν βασιλέα τὸν Νικηφόρον ἐφήμιζον, πολυχρόνιον
mighty sovereign — Nikephoros they-acclaimed long-lasting
κράτος αὐτῷ ἐπευχόμενοι. ὁ δὲ τὰ πρῶτα μὲν ἀπείπατο
power for-him praying he and the first indeed refused
τὴν τοιαύτην ἀρχήν, τὸ τοῦ ὕψους ἐπίφθονον εὐλαβούμενος,
the such rule the of-the height envied fearing
καὶ τὸν τῆς συνεύνου καὶ τοῦ υἱοῦ Βάρδα προϊσχόμενος
and the of-the wife and of-the son Bardas putting-forward
θάνατον, ὃς αὐτῷ τῆς ἡλικίας τὸ βιώσιμον ἕλκων, ἄρτι
death who to-him of-the age the fit-to-live drawing just
πυραυγεῖ τῷ ἰούλῳ περιαστράπτων τὴν γένυν, κατὰ
with-fiery the first-down flashing-around the cheek in
παιδιὰν οὐ πρὸ πολλῶν τῶν χρόνων πρὸς αὐτανεψιοῦ
game not before many of-the times by cousin
αὐτοῦ (Πλεύσης τὸ μειράκιον ὠνομάζετο) κοντῷ τὴν
his Pleuses the lad was-named with-a-pole the
βλεφαρίδα τιτρώσκεται· ὁ δὲ Πλεύσης, δείσας ἐπὶ
eyelid is-wounded — and Pleuses having-feared at
τῷ τραύματι, τὸν κοντὸν διαφίησι τῆς χειρός· τοῦ δὲ
the wound the pole lets-slip from-the hand of-the and
σαυρωτῆρος τῷ οὔδει ἐνερεισθέντος σφοδρὰν γενέσθαι
butt-spike on-the ground having-been-fixed violent to-be
συμβέβηκε τὴν ἀντέρεισιν, ὡς τὴν αἰχμὴν τὸ κρανίον
it-happened the counter-thrust so-that the point the skull
ἀντιτορήσασαν διαμπερὲς διελθεῖν, καὶ αὐθωρὸν ἄναυδον
having-pierced right-through to-pass and on-the-spot speechless
τὸν Βάρδαν τοῦ ἵππου καταπεσεῖν. τοιαύτην ὁ Νικηφόρος
— Bardas from-the horse to-fall such — Nikephoros
προτεινόμενος πρόφασιν παρῃτεῖτο τὴν ἀρχήν, καὶ Ἰωάννῃ
putting-forward pretext declined the rule and to-John
τῷ Τζιμισκῇ παρεχώρει τῆς τοιαύτης ἐπιβῆναι τιμῆς,
— Tzimiskes yielded the such to-mount honor

καὶ τῶν σκήπτρων ἀνθέξεσθαι. οὐκ ἠνείχετο δὲ τῶν
and the scepters to-hold-to not endured but the
τοιούτων λόγων οὔτε τις τῶν τοῦ στρατοῦ, οὔτε μὴν
such words neither anyone of-those of-the army nor indeed
αὐτὸς ὁ Ἰωάννης· ἀλλ' ὁμοθυμαδὸν αὐτὸν ἐπευφήμουν,
himself — John but with-one-accord him they-acclaimed
σεβάσμιόν τε καὶ βασιλέα Ῥωμαίων προσαγορεύοντες. ὁ
august both and emperor of-Romans addressing he
δὲ καταδέχεται τὴν ἀρχήν, καὶ τὸ ἐρυθρὸν πέδιλον, ὃ
and accepts the rule and the red sandal which
τῆς βασιλείας παράσημον μέγιστον πέφυκεν, ὑποδύεται,
of-the empire emblem greatest is puts-on
μικρὰ φροντίσας τῶν φρικωδεστάτων ὅρκων, οὓς πρός τε
little having-cared-for the most-awful oaths which to both
τὸν πατριάρχην Πολύευκτον κατέθετο καὶ τὴν σύγκλητον.
the patriarch Polyeuktos he-had-sworn and the senate
τὸ γὰρ ἀστάθμητον τῆς τύχης καὶ ἄδηλον, καὶ τὸ τοῦ
the for unstableness of-the fortune and uncertainty and the —
Ἰωσὴφ δυσμενές τε καὶ ἄσπονδον ὑπολογιζόμενος, ἠπείγετο
of-Joseph hostility both and implacability reckoning he-hastened
προτερήσειν τὴν τοῦ ἀνδρὸς κακοήθειαν, ἐν τῷ τὰ
to-anticipate the of-the man malignity in the the(-things)
κατ' αὐτὸν εὖ θέσθαι, καὶ ὡς οἷόν τε ἀσφαλίσασθαι.
concerning himself well to-settle and as possible — to-secure
τῷ τοι καὶ δεύτερα τὰ φθάσαντα τῆς ἑαυτοῦ
therefore indeed also second the having-preceded(-oaths) to-the his-own
σωτηρίας ἡγούμενος, παρὰ φαῦλον τὴν ὁρκωμοσίαν ἐτίθετο.
safety thinking at naught the oath-taking set
τοῦτον δὴ τὸν τρόπον τῆς βασιλείας ἀρχὴν ὁ Νικηφόρος
this indeed the way of-the empire rule — Nikephoros
ἀναδεξάμενος, τῆς σκηνῆς προῆλθεν, ἀκινάκην
having-taken-up from-the tent came-forth with-a-short-sword

διεζωσμένος καὶ δόρατι σκηριπτόμενος· ἐξ ἀπόπτου τε
girded and on-a-spear leaning from conspicuous both
καί τινος περιωπῆς κατὰ τὸ ὕπαιθρον στάς, ἔλεξε τοιάδε·
and some lookout in the open standing spoke such-things

VII · THE MARCH ON CONSTANTINOPLE

Nikephoros tells his soldiers he took the throne under compulsion and warns that the contest is now for the City itself. He makes John Tzimiskes Domestic of the East, seizes the straits, and writes to the patriarch Polyeuktos, to Joseph, and to the senate asking to be received. Joseph imprisons his envoy and holds the city with Marianos, Paschalios, and the Tornikioi; Nikephoros' brother Leo escapes by the sewers and his father Bardas takes sanctuary. Marianos is killed by a pot a woman throws from a roof; the parakoimomenos Basil arms three thousand men, sacks Joseph's house, and sends the fleet to Nikephoros. Joseph flees to the Great Church.

5 "Ὅτι μὲν οὐκ ἐφέσει τυραννίδος, ὦ συστρατιῶται, τόδε
that indeed not from-desire of-tyranny O fellow-soldiers this
τὸ σχῆμα τῆς βασιλείας ἀνείληφα, κατανάγκῃ δὲ ὑμῶν τοῦ
the form of-the empire I-have-taken-up by-compulsion but of-you the
στρατοῦ βιασθείς, μαρτυρεῖτέ μοι καὶ αὐτοί, οἵ γε καὶ
army forced bear-witness for-me also yourselves who at-least also
ἀποτροπιαζόμενόν τε τὴν τοσαύτην φροντίδα καὶ πρόνοιαν
me-averting both the so-great care and providence
τοῦ παντός, καὶ ἄκοντα κατηναγκάσατε δέξασθαι. ὅτι
of-the whole and unwilling compelled to-accept that
δὲ εὐνοίᾳ μᾶλλον ὑμῶν τε καὶ ἀσφαλείᾳ ἑαυτοῦ πρὸς
and from-goodwill rather to-you both and from-safety of-myself to
τὸν τοσοῦτον ἀγῶνα ἐπέδωκα ἐμαυτόν, εἰδέναι βούλομαι
the so-great contest I-gave myself to-know I-wish
πάντας ὑμᾶς. μαρτύρομαι δὲ τὴν τὸ πᾶν διευθύνουσαν
all you I-call-to-witness and the the whole directing

πρόνοιαν, ὡς πρόθυμός εἰμι, καὶ αὐτὴν τὴν ψυχὴν θεῖναι
providence that eager I-am even very the soul to-lay-down
ὑπὲρ ὑμῶν, καὶ οὐκ ἄν μέ τι τῶν ἀηδῶν
for you and not — me anything of-the unpleasant(-things)
τοῦ τοιούτου ἀπαγάγοι σκοποῦ. ἐπεὶ οὖν οὐκ ἠνέγκατε
from-the such would-lead-away aim since then not you-endured
τὴν τομίου ἔκσπονδον ἀπόνοιαν καὶ τὴν λυσσώδη καὶ
the of-a-eunuch truce-breaking madness and the raging and
ὀργῶσαν ἐκείνου αὐθάδειαν εἰς ἔργον χωρῆσαι, ἀλλ᾽ ὡσανεί
swelling his arrogance into deed to-go but as-if
τινα βαρυκάρδιον ἐπιστάτην ἀποσεισάμενοι, ἐμὲ βασιλεύειν
some heavy-hearted overseer having-shaken-off me to-reign
ὑμῶν ᾑρετίσασθε, ἐπὶ τῶν πραγμάτων δείξω σαφῶς,
over-you you-chose in the affairs I-will-show clearly
ὅτι τε ᾔδειν ἄρχεσθαι, καὶ νῦν ἄρχειν ἀνεπισφαλῶς
that both I-knew to-be-ruled and now to-rule securely
σὺν θεῷ ἐξεπίσταμαι. εὔνοιαν οὖν ἔχων ὥς τις φιλόπαις
with God I-understand goodwill then having as some child-loving
πατήρ, συμβουλεύω πᾶσιν ὑμῖν ὡς υἱοῖς φιλοπάτορσι, μὴ
father I-counsel all you as sons father-loving not
πρὸς ῥᾳστώνην καὶ τρυφὴν ἀπιδεῖν, ἀλλ᾽ ἐγρηγορέναι καὶ
to ease and luxury to-look but to-be-awake and
νήφειν, καὶ τὰ συμπίπτοντα εὐπρεπισμένως προσδέχεσθαι.
to-be-sober and the befalling(-things) in-good-order to-receive
τεκμαίρομαι γάρ, μὴ ἀναιμωτὶ διακριθῆναι τὰ πράγματα.
I-conjecture for not without-bloodshed to-be-decided the affairs
καὶ γάρ, ὅσον εἰς ἀνέφικτον ὕψος τῆς βασιλείας τὸ
and for as-much-as to unattainable height of-the empire the
κράτος ἀνέστηκε, τοσοῦτον καὶ ὁ φθόνος καὶ ὁ πόλεμος
power has-risen so-much also the envy and the war
περὶ αὐτὴν αὔξεται διαμιλλώμενα. οὐ πρὸς Κρῆτας οὖν
about it increases contending not against Cretans then

ὑμῖν ἡ πάλη, οὐδὲ πρὸς Σκύθας καὶ Ἄραβας, οὓς τῇ
for-you the wrestling nor against Scythians and Arabs whom by-the
σφῶν ἀρετῇ διεχειρισάμεθα, ἀλλὰ πρὸς τὴν τῶν Ῥωμαίων
our valor we-dispatched but against the of-the Romans
πολιτείαν, καθ᾽ ἣν ἄκρατα πανταχόθεν εἰσρεῖ, καὶ
state into which unmixed(-things) from-every-side flow-in and
ἣν οὐκ ἔνι αὐτοβοεὶ ὥς τι τῶν φρουρίων
which not it-is-possible at-the-first-shout like some of-the forts
ἑλεῖν· θαλάσσῃ τε περιῤῥεόμενον καὶ εὐερκῆ οὖσαν,
to-take by-sea both being-flowed-around and well-fenced being
καὶ πυργώμασιν ἐρυμνοῖς περικλειομένην ἑκασταχοῦ, καὶ
and with-towers strong being-enclosed on-every-side and
ἡβῶντι λαῷ περιπλήθουσαν, καὶ χρυσῷ καὶ πλούτῳ καὶ
with-youthful people teeming and in-gold and wealth and
ἀναθήμασι πολλῷ τῆς οἰκουμένης διαφέρουσαν. δεῖ
offerings by-much of-the inhabited-world surpassing it-is-needful
οὖν τὸ γενναῖον ἀνειληφότας παράστημα, ᾧ κεχρημένοι
then the noble having-taken-up spirit which using
παρὰ τὰς μάχας τὸ ἀντίξουν ἅπαν κατηγωνίζεσθε, καὶ
in the battles the opposing(-force) all you-overcame and
ὑπὲρ τὸ ἐνὸν ἄρτι μᾶλλον κατὰ τῶν ἀντιπάλων χωρεῖν.
beyond the possible now rather against the opponents to-go
πέπεισμαι γὰρ ἕξειν ἐπὶ τουτονὶ τὸν ἀγῶνα συνεργὸν
I-am-persuaded for to-have for this-here the contest fellow-worker
καὶ τὸν κρείττονα. τὰς γὰρ σπονδὰς καὶ τοὺς ὅρκους
also the stronger(-one) the for treaties and the oaths
οὐχ ἡμεῖς, τὸ τοῦ Ἰωσὴφ δὲ διέφθειρε δυσμενές, ὃς
not we the — of-Joseph but destroyed hostility who
τοὺς ἐμοὺς ἀγχιστεῖς ἐπὶ προφάσει μηδεμιᾷ ὑπερορίᾳ
the my kinsmen on pretext none to-exile
παρέπεμψεν, ἐμοὶ δὲ τούτων εἰδηκότι μηδέν, ὠμῶς καὶ
sent to-me and of-these knowing nothing cruelly and

ἀφιλανθρώπως θάνατον ἐσκαιώρησε. τὰς δὲ ξυμβάσεις οὐχ
inhumanly death he-contrived the and agreements not
οἱ πρώτως ἐπὶ τὰ ὅπλα χωροῦντες διαλύειν εἰώθασιν,
those first to the arms going to-dissolve are-wont
ἀλλ᾽ οἱ ἐν σπονδαῖς τοῖς ὁμοφύλοις ἐπιβουλεύοντες. δόξαν
but those in treaties the kindred plotting-against glory
τε τὴν ἐμὴν ἀναλογιζόμενοι, ὑφ᾽ ἧς στρατηγούμενοι
both the my reckoning under which being-generaled
ὑπὲρ ἀριθμὸν κατωρθώσατε τρόπαια, καὶ τὴν σύντροφον
beyond number you-achieved trophies and the inborn
ὑμῶν εἴπερ ἄλλοτέ ποτε παραθήξαντες ἀρετήν, ἕπεσθε
your if-indeed at-another-time ever having-whetted virtue follow
ἀνεπιστρόφως, ᾗ ἂν ἡ πρόνοια ἡγῆται, καὶ αὐτὸς
without-turning-back where — the providence may-lead and myself
ὁρμῶ.”
I-set-out

Ταῦτα εἰς ἐπήκοον τῆς στρατιᾶς ὁ Νικηφόρος διεξελθὼν 6
these-things into hearing of-the army — Nikephoros having-gone-through
πάντων ἐπέῤῥωσε τὰ φρονήματα, καὶ προθυμίαν ἀδιήγητον
of-all strengthened the spirits and zeal indescribable
ἐνεστάλαξε ταῖς ψυχαῖς, ὡς οἴεσθαι μήτινα πολέμου
instilled into-the souls so-that to-think that-no of-war
ῥοπὴν ἐξ ἀντιστάσεως ἀνθαμιλληθῆναι τῷ τοιούτῳ
force from resistance to-contend-against to-the such
κινήματι. δαιμονίως γὰρ αὐτὸν ἔστεργε τὰ στρατεύματα,
movement wondrously for him loved the armies
καὶ πᾶς τις αὐτοῦ τοῖς αὐχήμασιν ἐσεμνύνετο. καὶ γὰρ
and every one of-him in-the glories took-pride and for
ἐν πολέμοις ἀναστραφεὶς ἐκ νεότητος, καὶ φοβερὸς
in wars having-been-raised from youth and fearsome
ἀναδειχθεὶς ἐν τοῖς κατὰ τάξιν καὶ μάχας ἀνδραγαθήμασιν,
having-been-shown in the in ranks and battles deeds-of-valor

οὐ μόνον τὴν ἀλκὴν ἄμαχος ἐτέλει καὶ περιδέξιος,
not only in-the strength unconquerable he-was and most-dexterous
ἀλλὰ καὶ τὴν φρένα κατηρτυμένος καὶ τὴν παντοδαπὴν
but also in-the mind well-furnished and in-the every-kind
ἀρετὴν ἀπαράμιλλος. εὐθὺς οὖν εἰς τὴν τῶν Καισαρέων
virtue incomparable at-once then into the of-the Caesareans
ἐκκλησίαν νέων, ἐκεῖθεν ἐπὶ τὴν σκηνὴν ἐπανέστρεφε, καὶ
church going from-there to the tent he-returned and
τὸν Ἰωάννην τῷ τοῦ Μαγίστρου τιμήσας ἀξιώματι,
— John with-the of-the Magistros having-honored dignity
Δομέστικον τῆς Ἀνατολῆς ἀνηγόρευσεν, ἐντάλματά τε καὶ
Domestic of-the East proclaimed injunctions both and
διατάγματα πανταχοῦ τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἐξέπεμπε,
decrees everywhere of-the Roman dominion he-sent-out
καὶ στρατηγοὺς προχειρισάμενος ἐπὶ τὸν Εὔξεινον, καὶ
and generals having-appointed to the Euxine and
τὰ παράκτια πάντα, καὶ Ἄβυδον ἔστελλεν, ἀπτέρῳ
the coastal(-parts) all and Abydos he-sent with-wingless
τάχει ἀπιέναι τούτοις ἐγκελευσάμενος· τοῦτο τάχα, ὡς
speed to-go-off them having-ordered this perhaps as
ἔοικε, προμηθούμενος, πρὸ τοῦ διαπτῆναι τὴν φήμην τῆς
it-seems taking-forethought before the to-fly-abroad the report of-the
ἀναῤῥήσεως, τῆς ὑγρᾶς τοὺς πορθμοὺς καὶ τοὺς πόρους
proclamation of-the sea the straits and the passages
προκατασχεῖν. οὕτω γὰρ ᾤετο κατὰ νοῦν αὐτῷ
to-seize-first so for he-thought according-to mind for-him
χωρήσειν τὰ πράγματα, καὶ μὴ ἐπινεμεσήσειν τὴν τύχην
to-go the affairs and not to-be-indignant the fortune
αὐτῷ, ἐπιμειδιᾶσαι δὲ μᾶλλον ἱλαρόν τι καὶ ἥμερον,
at-him to-smile but rather cheerful something and gentle
εἴ γε προτερήσοι τὴν τῶν ἐπικαιροτάτων χωρίων
if at-least he-should-anticipate the of-the most-advantageous places

κατάληψιν. ταῦτα ὁ Νικηφόρος διαπραξάμενος, καὶ εἰς
seizure these-things — Nikephoros having-accomplished and into
ἀῤῥαγῆ συνασπισμὸν καταπυκνώσας τὰς φάλαγγας, καὶ
unbreakable close-order having-made-dense the phalanxes and
ὁπλισμοῖς αὐτὰς εὐερκέσιν ἀσφαλισάμενος, τῆς Καισαρείας
with-armor them well-fenced having-secured — from-Caesarea
ἀπάρας ἐπὶ τὴν βασιλεύουσαν ἔτο· ἐπιστολήν τε χαράξας
having-set-out to the reigning(-city) went letter both having-written
καὶ Φιλοθέῳ τῷ Εὐχαΐτων ἐπισκόπῳ ἐγχειρίσας, πρός
and to-Philotheos to-the of-Euchaita bishop having-entrusted to
τε τῶν ἐκκλησιαστικῶν ἐπειλημμένον οἰάκων Πολύευκτον
both of-the ecclesiastical having-grasped helms Polyeuktos
ἔστειλε, καὶ Ἰωσὴφ τὸν τῶν τυραννείων κατάρχοντα,
he-sent and to-Joseph the of-the palace ruling
καὶ τὴν σύγκλητον. ὡς ἐν κεφαλαίῳ δὲ ταυτί πως
and the senate as in summary and these-here somehow
διαπήγγελλεν ἡ γραφή· δέξασθαί τε αὐτὸν αὐτοκράτορα,
announced the writing to-receive both him emperor
περιφρουρήσοντα καὶ εἰς αὔξησιν ἡλικίας σωμασκήσοντα
going-to-guard and into growth of-age going-to-train
τοὺς τοῦ ἄνακτος Ῥωμανοῦ παῖδας· καὶ προσέτι τὰ μέγιστα
the of-the lord Romanos sons and besides the greatest
τὴν πολιτείαν ὀνήσοντα, καὶ τῆς Ῥωμαϊκῆς ἀρχῆς τὴν
the state going-to-benefit and of-the Roman rule the
ἐπικράτειαν αὐξήσοντα τοῖς κατὰ πολέμους ἀνδραγαθήμασιν.
dominion going-to-increase by-the in wars deeds-of-valor
εἰ δὲ μὴ τοῦτο βουληθεῖεν, αὐτοῖς μεταμελήσειν τῆς
if but not this they-should-wish for-them to-repent of-the
ἀβελτερίας μετέπειτα, ὁπηνίκα σιδήρῳ καὶ σφαγαῖς τὰ
stupidity afterward when with-iron and slaughters the

πράγματα διακρίνοιντο· καὶ καιρὸς οὐ μέτεστι δικαιολογίας
affairs should-be-decided and time not there-is of-pleading-justice
τοῖς αἱρετισαμένοις τῶν βελτιόνων τὰ χείριστα.
for-those having-chosen than-the better the worst

7 Ταύτην ὡσεί τινα ῥῆσιν ἀπὸ Σκυθῶν ὁ Ἰωσὴφ δεξάμενος
this as-if some speech from Scythians — Joseph having-received
τὴν γραφήν, καί, ὥσπερ ὕσπληγί τινι ἢ μύωπι τὴν καρδίαν
the writing and as-if by-a-goad some or by-a-gadfly in-the heart
βληθείς, τὸν μὲν ἐπίσκοπον πεδήτην ἀπέφηνεν, εἱρκτῇ
struck the indeed bishop prisoner declared to-prison
παραπέμψας· τὸν Μαριανὸν δέ, καὶ τὸν Πασχάλιον, καὶ
having-sent — Marianos and also — Paschalios and
τοὺς Τορνικίους, ἐν Πατρικίοις τελοῦντας καὶ θερμουργοὺς
the Tornikioi among Patrikioi being and hot-headed
πεφηνότας ἑταιρισάμενος, καὶ Μακεδονικὴν αὐτοῖς
having-shown-themselves having-taken-as-companions and Macedonian to-them
ἐγχειρίσας φάλαγγα, ἀντείχετο κραταιῶς, ἀποτειχίζων τῷ
having-entrusted phalanx held-out mightily walling-off —
Νικηφόρῳ τὴν εἰς τὸ Βυζάντιον πάροδον. ἐν τούτοις οὖν
from-Nikephoros the into — Byzantium passage in these then
τῶν πραγμάτων ἠωρημένων, Λέων ὁ τοῦ Νικηφόρου
the affairs being-in-suspense Leo the — of-Nikephoros
σύναιμος, οὗ καὶ πρώην ὁ λόγος κατὰ παραδρομὴν
brother of-whom also formerly the account in passing
τὰ περὶ τὰς μάχας ἐπεξηγήσατο τρόπαια, εὐκαιρίας
the about the battles set-forth trophies opportunity
δραξάμενος (ἔτυχε γὰρ ἐπιχωριάζων τῷ Βυζαντίῳ)
having-grasped he-happened for staying — in-Byzantium
τῶν τινος βαναύσων ὑποδὺς ἀμπεχόνην καὶ διὰ
of-the of-one artisans having-put-on cloak and through
τῶν ὑπονόμων τοῦ τείχους ὑπολισθήσας, ἀκατίῳ
the underground-passages of-the wall having-slipped-out onto-a-skiff

προσεπιβάς, ἐπὶ τὸν Νικηφόρον ἀπέπλευσεν, αὐτοῦ που
having-gone-aboard to — Nikephoros sailed-off there somewhere
περὶ τὰ ἐν τοῖς Ἡρίοις ἀνάκτορα εἰσελάσαντα, καὶ τὸν
about the in — Hieria palace having-ridden-in and the
στρατὸν διατάττοντα. τότε καὶ Βάρδας, ὁ τούτων γενέτης,
army arranging then also Bardas the their father
ἐν τοῖς μαγίστροις τελῶν καὶ εἰς γῆρας βαθύτατον
among the magistroi being and into old-age deepest
ἐληλακώς, τὸν ἐκ τοῦ Ἰωσὴφ κίνδυνον ὑπειδόμενος, δέει
having-come the from — Joseph danger suspecting with-fear
περιληφθεὶς ἱκέτης ἱεροῦ τοῦ μεγάλου καθίστατο· ἀνὴρ
seized suppliant of-the-temple the great became a-man
ἐξ αὐτῆς ἥβης ἐν πολέμοις καὶ μάχαις ἀναστραφείς,
from very youth in wars and battles having-been-raised
κἂν τῷ τοῦ Δομεστίκου τῶν σχολῶν ἐπὶ συχνὸν
and-in the of-the Domestic of-the scholae for long
χρόνον ἐνδιαπρέψας ἀξιώματι. ὁ δὲ Μαριανὸς καὶ
time having-been-distinguished dignity — and Marianos and
ὁ Πασχάλιος τὴν τῶν Μακεδόνων σπείραν κατὰ τὰς
— Paschalios the of-the Macedonians company through the
ἀγυιὰς περιφέροντες, ἐμβρενθυόμενοί τε κενῷ κόμπῳ
streets carrying-around swaggering both with-empty boasting
καὶ ἐξυπτιάζοντες, νεώτερα ῥᾳδιουργεῖν οὐκ ἐνέλιπον·
and throwing-back-the-head new(-things) to-contrive not failed
ὡς ἐκμανέντα τὸν δῆμον πρὸς ἀλκὴν ἀπιδεῖν, καὶ
so-that driven-mad the people to strength to-look and
αὐτοῖς ἀντικαταστῆναι συστάδην εἰς μάχην, καὶ εἰς φυγὴν
them to-withstand in-close-fight into battle and into flight
ὕπαιθρον κατακλεῖσαι, ὡσεί τινα μειράκια ἁβροδίαιτα καὶ
open to-shut-in as-if some lads delicately-living and
μάχης ἀπείρατα. τηνικαῦτα λέγεται καὶ γύναιον σκεῦος
of-battle inexperienced then it-is-said also a-woman a-vessel

κεραμοῦν χοὸς ἀνάπλεον, τῶν πρὸς κηπείαν ἐπιτηδείων,
earthenware of-earth full of-the for gardening suitable(-things)
ταῖς χερσὶ τοῦ τέγους ἀράμενον ἀκοντίσαι κατὰ τοῦ
with-the hands from-the roof having-lifted to-hurl against —
Μαριανοῦ, καὶ τοῦτον κατὰ τοῦ κροτάφου βαλεῖν· οὕτω
Marianos and him on the temple to-strike so
δὲ καιρίαν γενέσθαι τὴν βολήν, ὡς καταγνύναι τε τὸ
and mortal to-have-been the blow that to-break both the
κρανίον καὶ προσαραχθῆναι αὐτῷ τὸν ἐγκέφαλον, καὶ
skull and to-be-dashed-out his the brain and
δευτεραῖον τὸν βίον ἀπολιπεῖν. ἐκ τούτου παῤῥησίαν ὁ
on-the-second-day the life to-have-left from this boldness —
Βασίλειος εἰληφώς, ὃς ἐκτομίας μὲν ἦν καὶ τῷ τοῦ
Basil having-taken who eunuch indeed was and with-the of-the
παρακοιμωμένου καὶ αὐτὸς ἐπὶ τῶν τοῦ αὐτοκράτορος
parakoimomenos also himself in the of-the emperor
Κωνσταντίνου καιρῶν ἐνδιέπρεψεν ἀξιώματι, νόθος υἱὸς
Constantine times was-distinguished dignity bastard son
ἐκ Σκυθίδος τῷ παλαιοτάτῳ αὐτοκράτορι Ῥωμανῷ
from a-Scythian-woman to-the very-old emperor Romanos
γεννηθείς, δραστήριος δέ, καὶ τὸ παριστάμενον αὐτῷ
born energetic and also the occurring to-him
εἰς ἔργον ἐξενεγκεῖν προμηθέστατος, ἅτε τὸ γένος ἔχων
into deed to-bring-out most-provident as the birth having
ἐπίμικτον· τότε δὲ διάφορός τε, καὶ ἄλλως δύσνους τῷ
mixed then and at-odds both and otherwise ill-disposed —
Ἰωσὴφ διακείμενος, τοὺς οἰκογενεῖς θώραξι καὶ μίτραις,
to-Joseph being the household(-slaves) with-breastplates and turbans
κράνεσί τε καὶ πέλταις, ὑσσοῖς τε καὶ ξίφεσι
with-helmets both and with-small-shields with-javelins both and with-swords
καθοπλίσας, ὑπὲρ τοὺς τρισχιλίους χρηματίζοντας, τῇ
having-armed over the three-thousand amounting to-the

οἰκίᾳ τοῦ Ἰωσὴφ καὶ τῶν αὐτῷ συνεργούντων ἅμα
house — of-Joseph and of-those with-him working-together together-with
τῷ δήμῳ ἐπιτίθεται. καὶ εἰς διαρπαγὴν καὶ προνομὴν καὶ
the people he-attacks and into plunder and pillage and
ἐρείπωσιν ταύτας περιστήσας ἐπὶ τὰ νεώρια ὥρμησεν,
demolition these having-reduced to the dockyards rushed
ἐκεῖθέν τε τὰς πυρφόρους τριήρεις, συνευδοκοῦντος τοῦ
from-there both the fire-bearing triremes consenting the
δήμου καὶ τῆς συγκλήτου, πρὸς τὸν Νικηφόρον ὁρμίσασθαι
people and the senate to — Nikephoros to-anchor
παρεσκεύασεν. ὧν ἐπιβὰς ἐξαυτῆς ὁ Νικηφόρος τῇ
he-prepared which having-boarded forthwith — Nikephoros to-the
τῶν Ἀβραμιτῶν, ἣν καὶ Ἀχειροποίητον ὀνομάζουσι,
of-the Abramites which also Not-Made-by-Hands they-name
προσέσχε μονῇ· ἐκεῖθεν τε τοὺς παραληψομένους ἑστίαν
put-in monastery from-there both those going-to-take-over hearth
ἐξέπεμψε τὴν βασίλειον. οὓς ὁ Ἰωσὴφ προσιόντας
sent-out the imperial whom — Joseph approaching
ἰδών, ὀρρωδήσας τε καὶ δέει ἀσχέτῳ ληφθεὶς (ἤδη
having-seen having-shuddered both and by-fear uncontrollable seized already
γὰρ οἱ περὶ αὐτὸν φρουροὶ τῷ Νικηφόρῳ προσέθεντο),
for those about him guards — to-Nikephoros had-gone-over
καταλιπὼν τὰ βασίλεια δρομαίως εἰς τὸ ἱερὸν ἀφίκετο.
having-left the palace at-a-run into the temple came
ἦν οὖν ὁρᾶν τὸν πρὸ μικροῦ σοβαρὸν καὶ τὰς ὀφρῦς
it-was then to-see the before a-little haughty and the eyebrows
ᾐρκότα ὑπὲρ τὸ μέτωπον, ἱκέτην ἐλεινὸν καὶ αὐτὰς
having-raised above the forehead suppliant pitiable and very
κατεπτηχότα τὰς ἀκοάς, καὶ δεικνύοντα ἐν αὑτῷ, μηδὲν
cowering the ears and showing in himself nothing
τῶν ἀνθρωπίνων τελεῖν πάγιον ἢ ἀκίνητον, παλίντροπα

δέ τινα καὶ ὠκύμορα, καὶ δίκην κύβων τῇδε κἀκεῖσε
but certain and short-lived and in-the-manner of-dice here and-there
μεταῤῥιπτούμενα καὶ μεταπεττευόμενα. ἡ γοῦν τούτου
being-thrown-about and being-moved-like-game-pieces the at-any-rate his
πρὸς τὸ ἱερὸν προσφυγὴ τῷ τοῦ Νικηφόρου γενέτῃ Βάρδᾳ
to the temple refuge to-the — of-Nikephoros father Bardas
γέγονεν ἐκεῖθεν ἀπαλλαγὴ καὶ ἀνάσωσις ἐπὶ τὸν υἱόν.
became from-there release and safe-return to the son

VIII · NIKEPHOROS EMPEROR; THE CILICIAN WAR

Nikephoros enters by the Golden Gate on 16 August and is crowned by Polyeuktos in his fifty-first year; Leo describes his looks and strength. He makes his father Caesar, John Domestic of the East, his brother Leo Kouropalates, and Basil proedros. Urged by monks, he marries Theophano, and the patriarch, objecting that he is godfather to her children, is persuaded that the godfather was his father. He campaigns against Tarsus, which he cannot take, captures Adana, Anabarza, and more than twenty forts, and takes Mopsuestia by undermining two of its towers.

8 Ὁ δὲ Νικηφόρος, ἐπεὶ κατὰ τὸ δοκοῦν ἑαυτῷ
— and Nikephoros when according-to the seeming-good to-himself
τέλος ἐχώρει τὰ πράγματα, τὸ ἰδιωτικὸν περιελὼν καὶ
end went the affairs the private having-taken-off and
ἀποσφενδονήσας χιτώνιον, τὴν αὐτοκρατορικὴν καὶ βασίλειον
having-flung-away tunic the imperial and royal
ἐφεστρίδα ἐμπορπησάμενος, εἰς τὸ βασιλικώτερον ἑαυτὸν
cloak having-buckled-on into the more-royal himself
μετεσκεύασεν· ἵππου τε ἀγερώχου τῶν λευκῶν ἐπιβάς,
changed horse both proud of-the white having-mounted
φαλάροις κεκοσμημένου βασιλικοῖς καὶ τάπησιν ἁλουργοῖς,
with-trappings adorned royal and with-carpets purple

διὰ τῆς χρυσῆς πύλης εἰσήλαυνεν, ὑπὸ παντὸς τοῦ
through the golden gate he-rode-in by all the
δήμου καὶ τῶν ἐν τέλει κροτούμενός τε καὶ γεραιρόμενος.
people and those in office applauded both and honored
ἑκκαιδεκάτην ὁ Αὔγουστος ἤλαυνε μήν, ἐπὶ τῆς ἕκτης
sixteenth the August was-driving month in the sixth
ἰνδίκτου, ἐν τῷ ͵χυο΄ ἔτει, ὅτε ταῦτα ἐπράττετο. ἄρτι δέ,
indiction in the 6470 year when these-things were-done just and
ἐπεὶ πρὸς τὸν τοῦ θείου περίπυστον σηκὸν εἰσεφοίτησε,
when to the of-the divine famous precinct he-entered
καὶ ὑπὸ τοῦ τῶν ἱερέων πληρώματος ἀξιοχρέους τιμὰς
and by the of-the priests full-company worthy honors
ὑπεδέξατο, πρὸς τοῦ τὴν πατριαρχίαν ἰθύνοντος Πολυεύκτου
received by the the patriarchate directing Polyeuktos
τῷ βασιλικῷ διαδήματι στέφεται, ἓν καὶ πεντηκοστὸν
with-the imperial diadem is-crowned one and fiftieth
ἔτος τῆς ἡλικίας ἐλαύνων. τὴν δὲ ἰδέαν τοιόσδε τις ἦν·
year of-the age driving the and appearance such a-one he-was
ὄψις αὐτῷ πρὸς τὸ μέλαν πλέον ἢ τὸ λευκὸν ἀποκλίνουσα,
face to-him to the black more than the white inclining
κόμη δὲ βαθεῖα καὶ κυανῆ· ὀφθαλμοὶ μέλανες, ἐπὶ συννοίας
hair and thick and dark eyes black in thoughtfulness
πεφροντικότες, δασείαις ταῖς ὀφρύσιν ὑποκαθήμενοι·
pensive with-shaggy the eyebrows sitting-beneath
ῥὶς μέσως ἔχουσα λεπτότητος καὶ παχύτητος, ἠρέμα
nose moderately having of-thinness and thickness gently
συμπεραινομένη γρυπότητι· ὑπήνη σύμμετρος, ἀραιὰν παρὰ
ending in-bookedness beard proportioned thin along
τὰς γνάθους προβαλλομένη τὴν πολιάν· ἀγκυλεὸς τὴν ἡλικίαν
the jaws putting-forth the gray bent the stature
καὶ στιβαρός, εὐρύτατος τὸ στέρνον καὶ ὤμους ὡς μάλιστα,
and sturdy broadest the chest and shoulders as most

τὴν μέντοι ἀνδρείαν καὶ ῥώμην κατὰ τὸν θρυλλούμενον
the however courage and strength like the celebrated
Ἡρακλῆν· φρονήσει δὲ καὶ σωφροσύνῃ καὶ τῷ τὸ δέον
Heracles in-prudence but and in-self-control and in-the the needful
ἀνεπισφαλῶς ἐπιφράσασθαι, πάντων κατευμεγέθει τῶν κατ᾽
securely to-discern of-all he-surpassed the in
ἐκείνου τὴν γενεὰν γεγενημένων ἀνδρῶν. ταινιωθεὶς οὖν
that the generation born men having-been-crowned then
τῷ βασιλείῳ στέφει ἐπὶ τὴν βασίλειον αὐλὴν ἄνεισι,
with-the imperial crown to the imperial court goes-up
παρὰ τοῦ πλήθους καὶ τῶν ἐν τέλει δορυφορούμενος, καὶ
by the multitude and those in office escorted and
δὴ παρελθὼν ἐπὶ θρόνον ἐκάθισε τὸν βασιλικόν. ἦν
indeed having-come on throne sat the imperial it-was
οὖν ὁρᾷν τὴν τύχην ἐνωραϊζομένην καὶ ἐπιγαννυμένην τοῖς
then to-see the fortune preening and exulting in-the
τελουμένοις, καὶ πάντα ἑαυτῆς τιθεῖσαν τὰ ἀνθρώπινα
things-done and all her-own making the human
πράγματα, καὶ μηδὲν τῶν φθαρτῶν μηδενὸς καθίστασθαι
affairs and nothing of-the perishable(-things) of-anyone to-become
ἴδιον. ὁ δέ, ἐπεὶ τῆς βασιλείας ἐπέβη, καὶ τῶν οἰάκων
own he and when the empire he-mounted and the helms
ἀσφαλῶς τε καὶ ἀδεῶς ταύτης ἀντείχετο, Βάρδαν μέν, τὸν
securely both and fearlessly of-it held Bardas indeed the
ἑαυτοῦ πατέρα, εἰς τὴν τοῦ Καίσαρος τιμὴν προεβίβασε·
his-own father into the of-the Caesar honor advanced
τὸν δὲ συναράμενον αὐτῷ Ἰωάννην κατὰ τὴν τοῦ
the and having-helped him John at the of-the
κινήματος ἀρχήν, ᾧ Τζιμισκῆς τὸ ἐπίκλην, Δομέστικον
movement beginning to-whom Tzimiskes the surname Domestic
Ἀνατολῆς καὶ Μάγιστρον ἀναδέδειχε. Λέοντα δέ, τὸν ἴδιον
of-(the)-East and Magistros appointed Leo and the own

σύναιμον, Κουροπαλάτην καὶ Μάγιστρον προβάλλεται· τὸν
brother Kouropalates and Magistros he-promotes —
δέ γε Βασίλειον, τὸν τὸν Ἰωσήφ, ᾗπέρ μοι ἐῤῥήθη,
and at-least Basil the(-one) — Joseph as by-me was-said
καταστασιάσαντα, εἰς τὸ τοῦ προέδρου κλέος ἀνεβιβάσατο.
having-overthrown into the of-the proedros glory raised
Αὐτὸς δὲ τὴν συνήθη προσεποιεῖτο ἀπαρεγχείρητον 9
himself and the customary pretended inviolate
σωφροσύνην διατηρεῖν, γυναικός τε συζυγίας ἐκκλίνων
self-control to-keep of-woman both union avoiding
καὶ κρεωφαγίαν ἀποδιοπομπούμενος. ἀλλ' οἱ τὸν μονήρη
and meat-eating rejecting but those the monastic
βίον μετιόντες καὶ αὐτοῦ τὸν τρόπον δῆθεν ῥυθμίζοντες
life pursuing and his the manner supposedly regulating
(ἐτίμα γὰρ διαφερόντως τοὺς μοναστάς), οὐκ εἴων τὸν
he-honored for exceedingly the monks not allowed the
ἄνδρα ἐμμένειν οἷς ἔκρινε, προὐτρέποντο δὲ καὶ
man to-abide in-what he-had-decided they-urged and also
συζυγίαν ἀσπάσασθαι καὶ κρεωφαγίαν μὴ ὥς τι
union to-embrace and meat-eating not as something
ἀπαίσιον ἀποφυγεῖν. Ἐδεδίεισαν γάρ, μὴ τρυφαῖς καὶ
ill-omened to-shun they-feared for lest to-luxuries and
κώμοις ἐπικλινής, ὡς εἰκός, γεγονὼς εἰς ἀλλοκότους
revels inclined as likely having-become into strange
ὑπολισθήσειεν ἡδονάς, ἃς εἴωθεν αὐτοσχεδιάζειν τὸ
he-should-slip pleasures which is-wont to-improvise the
αὐτοδέσποτον καὶ αὐτόνομον, ἐπειλημμένον δυνάμεως. ταῖς
self-ruling and independent having-grasped power to-the
τῶν μοναστῶν οὖν καταπειθὴς γεγονὼς εἰσηγήσεσι, τὸν
of-the monks then obedient having-become suggestions the
ἡλικιώτην μὲν καὶ συνειθισμένον βίον ἀπώσατο· τὴν
of-his-age indeed and accustomed life he-thrust-away the

δὲ τοῦ Ῥωμανοῦ ὁμευνέτιν, ἀριπρεπῆ ταῖς ὥραις καὶ
but — of-Romanos wife most-distinguished in-the bloom and
αὐτόχρημα τυγχάνουσαν Λάκαιναν, πρὸς γάμον ἠγάγετο,
in-very-truth being Laconian to marriage he-led
καὶ πρὸς τὸ τῆς κρεωδαισίας ἀπὸ τῆς κεκολασμένης
and to the of-the meat-feasting from the chastened
διαίτης μετεσκεύαστο τρυφηλότερον. ὑπεψιθυρίζετο δέ, μὴ
diet was-changed more-luxuriously it-was-whispered and not
ἔννομον συνδραμεῖν, παράλογον δέ πως τὸ συνοικέσιον,
lawful to-come-together irregular and somehow the marriage
ὡς ἀνάδοχον ἐκ τοῦ θείου λουτροῦ γεγονότα τὸν
as godfather from the divine bath having-become —
Νικηφόρον τῶν τοῦ αὐτοκράτορος Ῥωμανοῦ καὶ τῆς
Nikephoros of-the of-the emperor Romanos and —
Θεοφανοῦς παίδων. τῆς οὖν φήμης ἀπτέρῳ τάχει εἰς
of-Theophano children the then report with-wingless speed into
τὰς ἀκοὰς τοῦ ἱεραρχοῦντος Πολυεύκτου ἐνηχηθείσης,
the ears of-the high-priest Polyeuktos having-resounded
ἀπείργειν παντὶ σθένει τῶν ἱερῶν περιβόλων ἐπειρᾶτο
to-bar with-all strength from-the sacred precincts tried
τὸν ἄνακτα· ζήλου γὰρ θείου περίπλεως ὢν ὁ ἀνήρ, καὶ
the lord of-zeal for divine full being the man and
τὴν παντοδαπὴν γνῶσιν καὶ ἀρετὴν ἀπρόσιτος, διελέγχειν
the every-kind knowledge and virtue unapproachable to-rebuke
καὶ βασιλεῖς οὐκ ᾐσχύνετο. ὁ δὲ βασιλεύς, τὰ μὲν
even emperors not was-ashamed the and emperor partly indeed
τὸν ἀρχιερέα παραιτούμενος, τὰ δὲ καὶ ἀπολογούμενος,
the high-priest entreating partly and also defending-himself
μὴ ἀνάδοχον αὐτὸν ἐκ τοῦ βαπτίσματος τῶν παίδων
not godfather him from the baptism of-the children
εἶναι τῆς Αὐγούστης Θεοφανοῦς, ἀλλὰ Βάρδαν, τὸν
to-be of-the Augusta Theophano but Bardas the

αὐτοῦ γενέτην, οὕτω κατεδυσώπησε τὸν ἀρχιερέα καὶ
his father so put-to-shame the high-priest and
δεινῶς κατεκήλησεν, ὡς καθιλαρευσάμενος οἰκονομῆσαι
terribly charmed that having-become-gracious to-arrange
τὴν τῆς Αὐγούστης Θεοφανοῦς μετὰ τούτου συνοίκησιν.
the of-the Augusta Theophano with him cohabitation
ἐπεὶ δὲ κατὰ ῥοῦν ἐχώρησε τούτῳ τὰ πράγματα,
when and with stream went for-him the affairs
κόσμον βασιλικὸν συμφορήσας ἀμύθητον, τεμένη τε
adornment imperial having-collected untold estates both
γῆς εὐδαίμονος πολύπλεθρα, χυμῶν ἰδέαις καὶ καρπῶν
of-land fertile of-many-plethra in-kinds of-juices and of-fruits
πλήθει παντοδαπῶν περιβρίθοντα ἀφορίσας, Θεοφανοῖ
in-multitude of-every-kind laden having-set-apart to-Theophano
τῇ ὁμευνέτιδι καὶ βασιλίδι χαρίζεται. αὐτὸς δὲ παρὰ
the wife and empress he-bestows he-himself and at
τὴν Κωνσταντινούπολιν διαχειμάζων, ἀγῶσιν ἱππικοῖς καὶ
— *Constantinople wintering with-contests equestrian and*
παντοδαποῖς θεωρίοις, φιλοτησίαις τε τοῖς αὐτοκράτορσιν
of-every-kind spectacles with-banquets and the for-emperors
εἰθισμέναις, τοὺς ἐν τέλει φιλοφρονούμενος οὐκ ἀνίη·
customary those in office treating-kindly not ceased
ὅσον τε θεραπευτικὸν καὶ οἰκίδιον τούτῳ παρείπετο,
as-much-as both of-servants and household him accompanied
ἐξήσκει τὰ πολεμικὰ ταῖς καθ' ἡμέραν μελέταις ὡς
he-trained-in the warlike(-things) by-the per day practices as
μάλιστα, τόξον τε ἀνεπισφαλῶς ἐκτείνειν, καὶ τὸν ὀϊστὸν
most bow both securely to-stretch and the arrow
τῷ μαζῷ ἑρύειν, εὐστόχως τε βάλλειν κατὰ σκοπόν, καὶ
to-the breast to-draw accurately both to-shoot at a-mark and
δόρατα κραδαίνειν καὶ περιελίσσειν εὐπετῶς τῇδε κἀκεῖσε,
spears to-brandish and to-whirl easily here and-there

ξίφη τε εὐθυβόλως κατὰ τὸν ἀέρα περιστρέφειν, καὶ
swords both straight-aiming in the air to-whirl and
ἵππων κούφως ὑπεράλλεσθαι· ὡς ἐν καιρῷ τῶν ἀγώνων
horses lightly to-leap-onto so-that in time of-the contests
μὴ φαίνοιτο τῶν ἐναντίων μειονεκτοῦν· καὶ μάλιστα
not it-might-appear than-the opponents falling-short and most
προκινδυνεύειν ὀφεῖλον καὶ παρατάττεσθαι κατὰ φάλαγγα.
to-be-foremost-in-danger being-bound and to-be-arrayed in phalanx
10 Ἐπεὶ δὲ τὴν τοῦ χειμῶνος κατήφειαν ἐαριναὶ τροπαὶ πρὸς
when and the of-the winter gloom vernal turnings to
γαληνιῶσαν μετεσκεύαζον ἱλαρότητα, ἐκστρατείαν κατὰ τῶν
calm changed cheerfulness campaign against the
Ἀγαρηνῶν παραγγείλας, τοῦ Βυζαντίου ἀπαίρει· καὶ τῇ
Hagarenes having-announced — from-Byzantium he-sets-out and in-the
Καππαδοκῶν ἐναυλιζόμενος χώρᾳ καὶ στρατιὰν συνειλοχὼς
of-Cappadocians encamping land and army having-gathered
ἀξιόμαχον, ἐπὶ τὴν τῶν Ταρσέων ἤλαυνεν, ἀνδρῶν ἀρετῇ
fit-for-battle to the of-the Tarsians drove in-men's valor
καὶ πλήθει καὶ μελέτῃ τῶν τακτικῶν τραχηλιῶσαν τότε καὶ
and multitude and practice of-the tactics swaggering then and
νεανιευομένην ὑπέραυχα, καὶ πλείστας ἀναφανδὸν ἐκδρομὰς
acting-youthfully boastfully and very-many openly sallies
ἀνελπίστους εἰσπράττουσαν. ἐπεὶ δὲ ταύτῃ προσέσχε,
unexpected exacting when and to-it he-put-in
καρτερὸν πηξάμενος χάρακα καὶ κυκλόθεν διειληφώς,
strong having-fixed a-palisade and all-around having-encircled
ἐφρούρει παρακαθήμενος. οἱ δὲ ἔνδον Ἀγαρηνοί, δαψιλείᾳ
he-guarded sitting-by those and within Hagarenes in-abundance
τέως τῶν ἀναγκαίων ὄντες ὑπερκορεῖς, καὶ τῇ τοῦ
meanwhile of-the necessities being overfull and in-the of-the
πολίσματος τεθαρρηκότες ἐρυμνότητι (ἐς ὕψος γὰρ ἀμήχανον
town confident strength to height for impossible

ἠωρεῖτο τῶν περιβόλων τὸ δόμημα, διπλῇ περιελισσόντων
was-raised of-the circuit-walls the structure double winding-round
αὐτό· καὶ ταφρείᾳ κυκλόθεν διείληπτο, ἐς βάθος ὅτι
it and by-a-ditch all-around it-was-encircled to depth as
πλεῖστον καθικνουμένῃ, λίθων λευκῶν κατεσκευασμένῃ
most reaching of-stones white built
ξεστῶν, καὶ ἐς προμαχεῶνας συμπεραινομένῃ. εἶχε μὲν
polished and into battlements ending it-had indeed
καὶ τὸν Κύδνον τὸ ἔρυμα, κατὰ μέσον αὐτὸ διατέμνοντα,
also the Kydnos the stronghold through middle it cutting
ὃς ἐξ αὐτῶν τῶν πηγῶν πολυχεύμων τις, ψυχρός τε
which from very the springs abundant a-certain cold both
καὶ διειδὴς περινάων πρόεισιν, ἀσφάλειαν οὐ μικρὰν τῇ
and transparent flowing-around goes-forth safety not small —
Ταρσῷ παρεχόμενος, καὶ γεφύραις τρισὶν ἔνδον τοῦ ἄστεος
to-Tarsus providing and with-bridges three within the town
διαζωννύμενος· ὅτε δὲ πόλεμος αὐτοῖς ἐπιβρίθει, κατὰ τῆς
being-spanned when and war on-them presses into the
τάφρου αὐτὸν ἀφιᾶσι καὶ ἐν ὥρᾳ μιᾷ πλημμυροῦσαν ταύτην
moat it they-let-go and in hour one flooding it
ἐργάζεται)· τούτοις τεθαῤῥηκότες οἱ βάρβαροι ἐτώθαζόν
it-makes in-these trusting the barbarians jeered
τε τὸν βασιλέα καὶ ὕβρεσιν αὐτὸν ἀδεῶς ἔβαλλον,
both the emperor and with-insults him fearlessly pelted
ἐκδρομάς τε καὶ ἐπεξελάσεις ποιούμενοι πλείστους τῶν
sallies both and charges making very-many of-the
Ῥωμαίων ἀπεκτίννυον. ὁ δὲ αὐτοκράτωρ Νικηφόρος ἐφ᾽
Romans they-killed the and emperor Nikephoros for
ἱκανὸν ταύτῃ χρόνον προσδιατρίψας, ἐπείπερ ἀνηνύτοις
sufficient there time having-lingered since impossible(-things)
ἐπιχειρῶν ᾔσθετο, ἐκεῖθεν μεταναστάς τε καὶ παρεγκλίνας,
attempting he-perceived from-there having-moved both and having-turned-aside

τοῖς ἔγγιον αὐτῇ κατῳκισμένοις προσβάλλει φρουρίοις,
to-the nearer it settled attacks forts
καὶ Ἄδαναν μὲν καὶ τὴν Ἀνάβαρζαν, καὶ ἄλλα ὑπὲρ
and Adana indeed and — Anabarza and others over
τὰ εἴκοσι φρούρια αἱρεῖ αὐτοβοεί. κἄπειτα Μοψουεστίᾳ
the twenty forts takes at-the-first-shout and-then to-Mopsuestia
προσβαλών τε καὶ κυκλωσάμενος, ἐκθύμως ἐπολιόρκει,
having-attacked both and having-surrounded ardently besieged
ταῖς ἀφετηρίοις μηχαναῖς ἑκασταχοῦ ἀκροβολιζόμενος. οἱ
with-the launching engines on-every-side skirmishing those
δὲ ἔνδον καὶ αὐτοὶ γενναίως ἀντικαθίσταντο, πυρφόρα
and within also themselves nobly resisted fire-bearing
τε βέλη καὶ βάρη λίθων κατὰ τῶν Ῥωμαίων βάλλοντες,
both missiles and weights of-stones against the Romans hurling
καὶ παντὶ σθένει ἐκ τῶν πύργων αὐτοὺς ἀμυνόμενοι.
and with-all strength from the towers them warding-off
11 Ὁ δὲ βασιλεύς, δραστήριός τε ὢν καὶ δεινὸς ἐν ἀμηχάνοις
the and emperor energetic both being and clever in impossible(-things)
πορίσασθαι μηχανήν, περιελθὼν καὶ καταστοχασάμενος
to-provide a-contrivance having-gone-around and having-guessed
τὸν χῶρον, ᾗπερ ἦν εὐεπιχείρητον, τῶν πύργων
the place where it-was easy-to-attack of-the towers
παραγαγὼν ἄνδρας ἀωρὶ τῶν νυκτῶν ἀνορύττειν ἠρέμα
having-brought-up men untimely of-the nights to-dig-up quietly
ἐνεκελεύσατο, ἀπὸ τῶν ὄχθων ἐναρξαμένους τοῦ ἐκεῖσε
he-ordered from the banks having-begun of-the there
παραῤῥέοντος Πυράμου τοῦ ποταμοῦ, ὡς μὴ αἴσθοιντο οἱ
flowing-past Pyramos the river so-that not should-perceive the
βάρβαροι, καὶ εἰς κενὸν ἀποβῇ τὸ τοιοῦτον ἐπιχείρημα.
barbarians and into empty should-turn-out the such enterprise
οἱ δὲ ἀνώρυττόν τε καὶ τὸν χοῦν τῷ τοῦ ποταμοῦ
they and dug both and the earth in-the of-the river

ἐκφοροῦντες παρέπεμπον ῥεύματι. Ἐπεὶ δὲ τὸ ἔργον
carrying-out sent-off stream when and the work
ἐξήνυστο, καὶ δύο τῶν πύργων μεταξὺ τοῦ συνδεδομένου
had-been-finished and two of-the towers between the joined
τούτοις τειχίσματος εἰς τὸ ἀκριβὲς διάκενοι γεγόνασι,
to-them fortification to the exact hollow became
καὶ ἐκκρεμεῖς ὄντες ξύλοις ᾐώρηντο, τῷ μὴ τὴν σφῶν
and overhanging being with-timbers were-held-up in-the not the their
διαλυθῆναι οἰκοδομήν· ἄρτι τῆς ἡλιακῆς ἀκτῖνος τὴν
to-be-dissolved structure just the solar ray the
περίγειον ὑπαυγαζούσης, κατὰ τὸ εἰθισμένον οἱ Ἀγαρηνοὶ
earth shining-upon according-to the custom the Hagarenes
λευχείμονες τῶν πύργων προκύψαντες, καὶ τὰ τόξα
white-robed from-the towers having-leaned-out and the bows
ἐντεινάμενοι, καὶ τὰς λοιπὰς παρασκευάσαντες μηχανάς,
having-stretched and the other having-prepared engines
ὕβρεσιν ἐδυσφήμουν τὸν ἄνακτα. ὁ δὲ τοῖς ὑπογείοις
with-insults reviled the lord he and to-the underground
ἐρείσμασι τῶν πύργων ἐνιέναι πῦρ διακελευσάμενος, αὐτὸς
props of-the towers to-put-in fire having-ordered himself
ἐς τὸ ἀκριβὲς καθωπλισμένος, ἐπῄει διατάττων τὰς
to the exact fully-armed advanced arranging the
φάλαγγας. ῥᾳδίως δὲ τῶν στηριγμάτων κατακαέντων,
phalanxes easily and the supports having-been-burned-down
ὅσον ἐκκρεμὲς ἦν τοῦ τείχους καὶ ὑπόκενον, κατασεισθὲν
as-much-as overhanging was of-the wall and hollowed-beneath having-been-shaken
εἰς γῆν κατεφέρετο, συγκατασπᾶσαν καὶ τοὺς ἐπιβεβηκότας
to earth was-borne-down dragging-down-with-it also those having-mounted
αὐτῷ τῶν Ἀγαρηνῶν, ὧν οἱ πλείους συντριβέντες
it of-the Hagarenes of-whom the most crushed
αὐθωρὸν διαπεφωνήκασιν· οἱ δέ, ζωγρίαι πρὸς τῶν
on-the-spot died those and alive by the

Ῥωμαίων ληφθέντες, τὴν κατασχοῦσαν σφᾶς ἀπωδύροντο
Romans taken the having-seized them bewailed
τύχην. ὁ δὲ αὐτοκράτωρ, ἐπεὶ τὸ τεῖχος ἐριπωθὲν
fortune the and emperor when the wall thrown-down
πάροδον τοῖς βουλομένοις παρείχετο, πανσυδὶ τῇ
passage to-those wishing provided in-full-force —
Μοψουεστίᾳ προσεπιβὰς ταύτην ἠνδραποδίσατο, καὶ τοὺς
Mopsuestia having-entered it enslaved and the
παραλειφθέντας βαρβάρους δουλείᾳ παρέπεμψεν. αὐτὸς δὲ
left barbarians to-slavery sent he-himself and
τὰ κάλλιστα τῆς λείας ὑπεξελών, καὶ τῷ βασιλικῷ ταμείῳ
the finest of-the booty having-taken-out and to-the imperial treasury
προσαναθείς, τὸν στρατὸν ἐκ τῆς ἁρπαγῆς τοῦ ἄστεος
having-dedicated the army from the plunder of-the town
ἀνακαλεσάμενος, ἐπεὶ ὁ ἥλιος τὸν τοξότην παρελαύνων
having-recalled when the sun the Sagittarius driving-past
μετέβαινε πρὸς τὸν αἰγοκέρωτα, καὶ τὸ τοῦ χειμῶνος
was-passing to the Capricorn and the of-the winter
δεινὸν ἐπετείνετο, ἐκεῖθεν διαναστὰς ἐπὶ τὴν Ῥωμαϊκὴν
dread was-intensified from-there having-risen to the Roman
ἐπικράτειαν ἀνήλαυνε. καὶ τῆς Καππαδοκῶν ἐπιβὰς
dominion drove-up and the of-Cappadocians having-reached
τὴν πληθύν, ὡς εἰκός, φιλοφρονησάμενος ἐκέλευσεν ἐπὶ
the host as likely having-treated-kindly ordered to
τὰ οἴκοι παλινδρομεῖν, μεμνῆσθαί τε αὖθις τῆς πρὸς
the at-home to-run-back to-remember both again of-the to
αὐτὸν ἐπανόδου τοῦ ἦρος προκύπτοντος, τὰς πανοπλίας
him return of-the spring peeping-forth the full-armors
ἐπισκευασαμένους, παραθηξαμένους τε τὰ ξίφη, καὶ τῶν
having-prepared having-whetted both the swords and of-the
ἵππων ἐπιμελησαμένους ὡς μάλιστα. οὕτως μὲν ἡ πληθὺς
horses having-taken-care as most so indeed the host

πρὸς οἶκον ἐχώρει. αὐτὸς δὲ ἅμα τοῖς ὑπολειφθεῖσιν
to home went he-himself and together-with the left-behind
αὐτοῦ τε διεχείμαζε, καὶ τὰ ἐς τὸν πόλεμον ἐξηρτύετο.
there both wintered and the for the war prepared

BOOK IV

IX · THE FALL OF TARSUS

Stung by his repulse, Nikephoros returns in spring against Tarsus. On the march he has a captain mutilated for sparing a soldier who threw away his shield. He crops the plain bare, routs the Tarsians who come out against him, and starves the city into surrender: its people may go into inner Syria with their bodies and clothing only, and the crosses they had taken from Roman armies are dedicated in a famous church. Mysian envoys demanding the customary tribute are struck on the cheek and sent back with a threat, and Nikephoros takes the Mysian border forts, but will not lead his army into their marshy, wooded country.

Τὸν μὲν δὴ τρόπον, ὃν εἴρηταί μοι, πρὸς τοῦ 1
the indeed truly way which has-been-said by-me by the
αὐτοκράτορος Νικηφόρου ἥ τε Μόψου ἥλω ἑστία, καὶ
emperor Nikephoros the both of-Mopsos was-taken hearth and
τὰ πρόσοικα φρούρια ἐξ ἐφόδου ἠνδραποδίσθη. αὐτὸς
the neighboring forts from attack were-enslaved he-himself
δὲ κατὰ τὴν Καππαδοκῶν διαχειμάζων, ἤσχαλλέ τε
and in the(-land) of-Cappadocians wintering was-vexed both
καὶ ἤλυεν ἀνιώμενος, τῷ μὴ καὶ τὴν Ταρσὸν αἱρήσειν
and was-distraught grieving in-the not also — Tarsus going-to-take
αὐτοβοεί, ἀλλὰ ταύτης ἀποκρουσθῆναι ὡσπερεὶ βέλος
at-the-first-shout but from-it to-have-been-repulsed like missile
κωφὸν ἰσχυροτέρῳ προσπεσόν, μηδέν τι γενναῖον ἢ
blunt on-a-stronger having-fallen nothing at-all noble or

νεανικὸν ἐργασάμενος. καὶ τὸ πρᾶγμα προπηλακισμὸν καὶ
youthful having-done and the affair contumely and
ὕβριν ἄντικρυς ἐλογίζετο, καὶ ὄνειδον ἀνεξάλειπτον, εἰ
insult outright he-reckoned and reproach indelible if
Νικηφόρος ὢν ὁ Φωκᾶς, καὶ πρώην ἐν στρατηγοῖς
Nikephoros being — Phokas and formerly among generals
τελῶν, καὶ αὖθις ἀναῤῥηθεὶς Δομέστικος τῶν σχολῶν,
being and again proclaimed Domestic of-the scholae
τοτὲ μὲν μυριάδας πόλεις κατέσκαψε καὶ δηώσας
at-one-time indeed myriads cities he-razed and having-ravaged
ᾐθάλωσε, τοτὲ δὲ εὐδαίμονας χώρας ἠνδραποδίσατο,
burned-to-ashes at-another-time and prosperous lands enslaved
καὶ μάχιμα ἔθνη τρεψάμενος ἐκ παρατάξεως ὑπήγετο,
and warlike nations having-routed from array subdued
μηδὲ ἀντοφθαλμεῖν ἐξισχύσαντα πρὸς τὴν τούτου ἀλκὴν
not-even to-look-in-the-face having-been-able against the his strength
καὶ τὴν ἀκαταγώνιστον ἐν τοῖς ὅπλοις ὁρμήν· τὰ νῦν δέ,
and the invincible in the arms rush the now but
τὴν τῶν Ῥωμαίων ἡγεμονίαν ἀνδρείᾳ ἀγχινοίᾳ παρειληφώς,
the of-the Romans rule by-bravery by-shrewdness having-taken-over
καὶ στρατὸν εἰς τετταράκοντα μυριάδας ἀριθμούμενον
and army to forty myriads numbering
ἐπαγόμενος, ἀπεκρούσθη τὴν ἄλλως σκιαμαχήσας.
bringing he-was-repulsed — in-vain having-shadow-fought
ἀπεκρούσθη δὲ οὐχὶ Βαβυλῶνος, ἣν ἡ Σεμίραμις ἑπτὰ
he-was-repulsed and not from-Babylon which — Semiramis with-seven
περιβόλοις ὠχύρωσεν· ἢ τῆς πρεσβυτέρας Ῥώμης, τὸ τῶν
circuit-walls fortified or of-the elder Rome the of-the
Ῥωμαίων σθένος ἥνπερ ἐπολίσατο· ἢ τῶν τῆς Ἰουδαίας
Romans might which-indeed founded or of-the — of-Judea
τειχῶν, ὧν τὸ ναστὸν ὕψος, ὡσὶν ἀκουόμενον, μῦθος
walls of-which the solid height by-ears heard a-myth

τάχα, τῆς ἀληθείας γεγυμνωμένος, τοῖς οὐχ ἑωρακόσι
perhaps of-the truth stripped to-those not having-seen
δοκεῖ· ἀλλὰ Ταρσοῦ, εὐπεριγράπτου πόλεως, ἐφ' ἱππηλάτου
seems but from-Tarsus easily-circumscribed city on horse-riding
πεδίου συνῳκισμένης, τῶν ἐπηλύδων τε καὶ ἰθαγενῶν.
plain built-together of-the newcomers both and natives
ταῦτα δὴ ἀνελίττων καὶ γνωματεύων δυσφορῶν διετέλει,
these-things indeed revolving and judging being-indignant he-continued
καὶ ἀπαρηγόρητα δυσθυμῶν, εἰ Ταρσεῖς, τῶν προσοίκων
and inconsolably despondent if Tarsians the neighbors
αὐτοῖς ἔργον πολέμου γεγενημένων, καὶ δουλείαν ἐλευθερίας
to-them work of-war having-become and slavery for-freedom
ἀλλαξαμένων, ὁπόσοι τὸ τῆς μαχαίρας στόμα διέδρασαν,
having-exchanged as-many-as the of-the sword mouth escaped
αὐτοὶ μόνοι τῶν ἄλλων ἀπέλθοιεν, πλατύ που τῆς ἐκείνου
they alone of-the others should-come-away broadly somehow at-the his
ἀνδρείας ἐπικαγχάζοντες, καὶ τῆς πολεμικῆς ἐμπειρίας
bravery laughing and the military experience
καταμωμώμενοι. τῷ τοι καὶ τὰ ἐς τὰς μάχας τοὺς περὶ
finding-fault therefore indeed also the for the battles those about
αὑτὸν διεγύμναζεν ἀκριβῶς, καὶ τὴν τοῦ ἔτους ὥραν ἥστο
himself he-trained exactly and the of-the year season sat
προσεκδεχόμενος. ἦρος δὲ εὐθὺς διαλάμποντος, καὶ τῆς
awaiting of-spring and at-once shining-forth and the
χειμερινῆς δριμύτητος εἰς θερινὴν θάλψιν μετακιρναμένης
wintry sharpness into summer warmth being-tempered
ἐπιεικῶς, κατὰ τὸ προστεταγμένον αἱ δυνάμεις ἐπὶ τὸν
fairly according-to the commanded the forces to the
αὐτοκράτορα συνηγείροντο. ὁ δὲ ἀραρότως καθοπλίσας τὴν
emperor gathered he and firmly having-armed the

στρατιάν, συναγομένην ὑπὲρ μυριάδας τὰς τετταράκοντα,
army being-assembled over myriads the forty
τὸ σημεῖον διάρας ἐπῄει τὴν ἐπὶ τῆς Ταρσοῦ.
the standard having-raised advanced the to — Tarsus
2 Ἐν ᾧ δὲ τὴν πορείαν διήνυε, τῶν ψιλῶν τις
in which and the march he-was-accomplishing of-the light-armed a-certain
στρατιωτῶν, πρὸς τὴν δυσχωρίαν ὀκλάσας (ἔτυχε γὰρ
soldiers at the rough-ground having-sunk-down it-happened for
δι᾽ αὐλῶνος τὴν στρατιὰν βαθυτάτου, εἰς ἀπορρῶγας
through a-valley the army deepest into crags
καὶ σήραγγας κατακλειομένου, διαπορεύεσθαι), τὸν ὃν
and caves being-shut-in to-go-through the which
ἐπὶ τῶν ὤμων ἔφερε θυρεόν, κατὰ τὴν ὁδὸν ἀπέῤῥιψεν
on the shoulders he-carried shield along the road threw-away
ἀποφορτισάμενος. ἐπεὶ δὲ παροδεύων ὁ βασιλεὺς τοῦτον
having-unburdened-himself when and passing-by the emperor him
τοῖς ὀφθαλμοῖς καθεώρακε, τῶν ἑπομένων τινὶ
with-the eyes saw of-those following to-someone
διᾶραι τὸν θυρεὸν ἐγκελεύεται· ἄρτι δὲ φθάσας πρὸς
to-lift the shield he-orders just and having-arrived at
τὴν καταγωγήν, ὑπὸ τίνα τῶν λοχαγῶν διηρευνᾶτο
the halting-place under which of-the captains he-searched
ταττόμενος ἂν εἴη ὁ διαμάχης καὶ κινδύνων χωρὶς
being-ranked — might-be he-who battle and dangers without
ἀποφανθεὶς ῥίψασπις καὶ τὸ ἴδιον ὅπλον ἀποβαλών.
having-shown-himself shield-thrower and the own weapon having-cast-away
ἐπεὶ δὲ οὐ διέλαθεν ὁ τοῦτο δεδρακώς, ἀλλὰ τὴν
when and not escaped-notice he-who this having-done but the
ταχίστην συνελαμβάνετο, βλοσυρόν τι τούτῳ καὶ λοξὸν
quickest was-caught grim something on-him and askance
ἀντωπήσας ὁ βασιλεὺς καί, "λέγε μοι," ἔφη, "ἀγεννέστατε
having-looked the emperor and tell me he-said most-ignoble-one

σύ, εἴ γε τις ἐπῆλθεν ἐξ ἀπόπτου πολέμου καταδρομή,
you if at-least any came from out-of-sight of-war raid
τίνι ἂν ἔρκει πρὸς ἀποτροπὴν ἐχρήσω τῶν δυσμενῶν,
what — fence for averting would-you-have-used of-the enemies
τὸν θυρεὸν ἀποβαλὼν παρὰ τὴν ἀταρπιτόν;" ὁ δέ,
the shield having-cast-away by the path he and
πεπηγὼς ὑπὸ τοῦ δέους, διέμενεν ἀχανής. ὁ δὲ αὐτοκράτωρ
fixed by the fear remained speechless the and emperor
αἰκίαις καταξᾶναι τὸν αὐτοφονευτὴν ἑαυτοῦ τῷ λοχαγῷ
with-tortures to-flay the self-murderer of-himself to-the captain
ἐγκελεύεται, ἐκτεμόντι τε καὶ τὴν ῥῖνα θεατρίσαι κατὰ τὸ
orders having-cut-off and also the nose to-make-a-show in the
στρατόπεδον. Ἐκεῖνος δέ, εἴτε οἴκτῳ ληφθεὶς πρὸς τὸν
camp he but whether by-pity seized toward the
ἄνθρωπον, εἴτε καὶ δώρων ἐπιβολῇ χαυνωθείς, ἀσινῆ
man or also of-gifts by-the-imposition softened unharmed
διαφῆκε τὸν ἄνδρα. τῇ δὲ ὑστεραίᾳ διϊόντα τοῦτον
let-go the man on-the and next-day going-about him
ὁ βασιλεὺς ἑωρακώς, τὸν λοχαγὸν εἰσκαλεῖ καί, "ὦ,"
the emperor having-seen the captain calls-in and O
φησίν, "ἀτέραμνε καὶ θρασυκάρδιε σύ, πῶς ἔτλης μὴ
he-says unbending and bold-hearted you how dared not
παραγαγεῖν εἰς ἔργον τὸ κελευσθέν; ἦ δοκεῖς πλεῖον
to-bring into deed the ordered truly do-you-think more
ἐμοῦ τουτουΐ κήδεσθαί σοι τοῦ στρατοῦ; εἰς παιδείαν ἐγὼ
than-me this-here to-care to-you of-the army for teaching I
τῶν λοιπῶν τὴν τοιαύτην διωρισάμην ἐκτῖσαι ποινὴν τὸν
of-the rest the such ordained to-pay penalty the(-one)
τὸ ἑαυτοῦ ὅπλον ἀποῤῥιψάμενον· ὡς μήτινες τὸ τούτου
the his-own weapon having-thrown-away so-that not-some the his
ἀμελὲς καὶ νωθρὸν μιμησάμενοι ταὐτὸ τοῦτο διαπράξοιντο,
carelessness and sluggishness having-imitated the-same this should-do

κἂν τῷ καιρῷ τῶν ἀγώνων γεγυμνωμένοι τῶν ὅπλων
and in-the time of-the contests stripped of-the arms
καταλαμβάνοιντο, καὶ οὐκ ἂν φθάνοιεν πρὸς τῶν
should-be-caught and not — they-would-be-slow by the
ἐναντίων ἀναιρούμενοι." σφοδρῶς οὖν αἰκίσας τὸν λοχαγὸν
opponents being-killed violently then having-tortured the captain
καὶ τῆς ῥινὸς ἀφελόμενος, δέος ἐνῆκε παντὶ τῷ στρατῷ,
and of-the nose having-deprived fear he-sent-into all the army
μηκέτι ἀμελῶς διακεῖσθαι περὶ τὸν οἰκεῖον ὁπλισμόν.
no-longer carelessly to-be-disposed about the own armor

3 Ἄρτι δὲ κατὰ τὴν περίχωρον γενόμενος τῆς Ταρσοῦ,
just and in the surrounding(-land) having-been — of-Tarsus
ἐνταῦθα στρατοπεδεύεται καὶ χάρακα κυκλόθεν πηξάμενος,
there he-encamps and a-palisade all-around having-fixed
καρτερῶς τά τε λήϊα καὶ τοὺς λειμῶνας, τοῖς ἄνθεσι καὶ
strongly the both crops and the meadows with-the flowers and
παντοίων δένδρων ἰδέαις κομῶντας, δηοῦν καὶ ἀποκείρειν
of-all-kinds of-trees with-kinds luxuriant to-ravage and to-crop
προσέταττεν, ὡς ἐξ ἀπόπτου ἡ διαμάχη τούτῳ εἴη,
he-ordered so-that from a-distance the fighting for-him might-be
καὶ μή τινα τοῖς βαρβάροις ἐξῇ ἐν τοῖς ἀμφιλαφέσι
and not any to-the barbarians might-be-possible in the thickly-wooded
χωρίοις λόχον ἐγκαθιστάνειν, καὶ τῇ Ῥωμαϊκῇ στρατιᾷ
places ambush to-set and on-the Roman army
ἐκ τοῦ ἀφανοῦς ἐπιτίθεσθαι. ἦν οὖν τὴν χώραν
from the unseen to-attack it-was-possible then the land
ἰδεῖν τὸν οἰκεῖον ὡραϊσμὸν ἀποβάλλουσαν· εὐδαίμων γὰρ
to-see the own beauty casting-off prosperous for
ἅπασα καὶ εὔβοτος καὶ φυτῶν ἰδέαις κατάκομος, ὅσα
all and well-pastured and of-plants with-kinds thickly-leaved as-much-as
οἶδε φέρειν ὀπώρας παντοίας χυμούς. Ταρσεῖς δὲ ταῖς
it-knows to-bear autumn-fruits of-all-kinds juices Tarsians and by-the

κατὰ Ῥωμαίων ἤδη προβάσαις νίκαις ἐπαιρόμενοι, θρασεῖς
against Romans already past victories elated bold
τέως καὶ ἀγέρωχοί τινες ἐξητάζοντο, οὐκ ἠνείχοντό τε
meanwhile and haughty certain were-proved not they-endured and
κατέχειν ἐν ἑαυτοῖς τὸν θυμόν, ἀλλ᾽ ὑπεξιόντες τοῦ ἄστεος
to-hold in themselves the spirit but going-out from-the town
ἐς καρτερὸν ἐξ ἀντιπάλου παρεκροτοῦντο συνασπισμόν,
into strong from opposing were-roused close-order
τολμητίαι τινὲς καὶ θαῤῥαλεώτεροι τοῦ μετρίου πρὸ τῆς
daring certain and more-confident than-the moderate before the
τοῦ πολέμου πείρας ἀναδεικνύμενοι. ὁ δὲ βασιλεὺς καὶ
of-the war trial showing-themselves the and emperor also
αὐτὸς τὸν ἄλκιμον καὶ ῥωμαλέον τῆς στρατιᾶς ὑπεξῆγε
himself the valiant and strong of-the army led-out
τοῦ χάρακος, ἐν μεταιχμίῳ τε καθίστη τὰς φάλαγγας,
from-the palisade in (the)-no-man's-land and he-set the phalanxes
κατὰ μέτωπον μὲν τοὺς πανσιδήρους ἱππότας ἱστῶν,
at front indeed the all-iron horsemen setting
ἐξόπισθεν δὲ τοξότας καὶ σφενδονήτας βάλλειν τοὺς
from-behind and bowmen and slingers to-shoot the
ἐναντίους προστεταχώς. εἰς τὸ δεξιὸν δὲ κέρας αὐτὸς
opponents having-ordered on the right and wing he-himself
εἱστήκει, μυρίανδρον ἱππέων ἴλην ἐπιφερόμενος κατὰ
stood ten-thousand-strong of-horsemen squadron bringing on
δὲ τὸ εὐώνυμον Ἰωάννης, ᾧ τὸ ἐπώνυμον Τζιμισκῆς,
and the left John to-whom the surname Tzimiskes
τῇ τοῦ Δουκὸς τιμῇ σεμνυνόμενος, διηγωνίζετο, ἀνὴρ
with-the of-the Doux honor being-honored fought a-man
σφαδάζων τε τῷ θυμῷ, καὶ τολμητίας ἐκτόπως καὶ
quivering both in-the spirit and daring extraordinarily and
θερμουργὸς εἰ καί τις ἄλλος ἀποδεικνύμενος, εἰ καὶ
hot-headed if even anyone else showing-himself if even

τὸ σῶμα βραχύς τις ὑπὲρ τὸ μέτριον ἦν, κατὰ
the body short a-certain beyond the moderate he-was like
τὸν μυθολογούμενον Τυδέα τὸν μαχητήν· ἀλλά τις
the storied Tydeus the fighter but a-certain
ἡρωϊκὴ ἐνῆν ἀλκὴ καὶ ὁρμὴ ἐν τῷ μικροπρεπεῖ ἐκείνου
heroic was-in strength and rush in the paltry his
σώματι. τοῦ δὲ αὐτοκράτορος ἐγκελευσαμένου τὸ ἐνυάλιον
body the and emperor having-ordered the war-cry
ἐπαυλεῖν, ἦν ἰδεῖν ἀμηχάνῳ κόσμῳ τὰς Ῥωμαϊκὰς
to-sound it-was to-see in-extraordinary order the Roman
κινουμένας φάλαγγας, καὶ τὸ πεδίον ἅπαν τῇ αὐγῇ
moving phalanxes and the plain all with-the gleam
τῶν ὅπλων καταστραπτόμενον. οὐκ ἤνεγκαν τὴν τοσαύτην
of-the arms flashing not endured the such
ῥοπὴν οἱ Ταρσεῖς· τοῖς δὲ ὠθισμοῖς τῶν ἀκόντων καὶ
force the Tarsians by-the but thrustings of-the spears and
τοῖς ἀκροβολισμοῖς τῶν βαλλόντων ἐξόπισθεν βιαζόμενοι,
by-the skirmishings of-those shooting from-behind being-forced
ἐξαυτῆς ἔκλιναν εἰς φυγήν, καὶ πρὸς τὸ ἄστυ συνεκλείοντο
forthwith turned to flight and to the town were-shut-in
ἀκλεῶς, πλείστους τῶν οἰκείων παρὰ ταύτην ἀποβάλλοντες
ingloriously very-many of-the own-people in this losing
τὴν προσβολήν. δεινὴ δέ τις ὑπεισῄει τούτοις δειλία,
the attack dire and a-certain crept-in to-them cowardice
τηλικαύτην μετ' ἐμπειρίας ἀθρήσασι χωροῦσαν πληθύν.
so-great with experience having-beheld advancing host
τὸν περίβολον οὖν διειληφότες τοῦ ἄστεος καὶ τοῦτον
the circuit-wall then having-occupied of-the town and it
ταῖς ἀφετηρίοις κατοχυρωσάμενοι μηχαναῖς, διεκαρτέρουν
with-the launching having-fortified engines held-out
ἀπρόϊτοι, τὴν ἐπήλυσιν τῶν ἐναντίων ὑποδεχόμενοι.
not-coming-forth the approach of-the opponents awaiting

Νικηφόρος δὲ ὁ αὐτοκράτωρ, ἐπεὶ δυσπρόσοδον ἀτεχνῶς 4
Nikephoros and the emperor since hard-of-access utterly
ᾔδει καὶ δυσέμβολον οὖσαν τὴν πόλιν, καὶ μὴ ἐξ
he-knew and hard-to-attack being the city and not from
ἐφόδου ἁλώσιμον, ἔγνω μὴ διακινδυνεύειν πολεμησείων
attack capturable he-resolved not to-run-the-risk eager-for-war
ἀβούλευτα, ἀλλὰ τῷ λιμῷ παραδώσειν, ὅς γε τῇ
ill-advisedly but to-the famine to-hand-over which at-least by-the
χαλεπῇ κατανάγκῃ καὶ ἄκουσαν παραστήσεται. τοῦτο δὴ
harsh compulsion even unwilling will-bring-over this indeed
βουλευσάμενος ἀκριβέσι φρουραῖς τὸ ἄστυ διέζωσε. Ταρσεῖς
having-planned with-exact guards the town he-girded Tarsians
δέ, ἕως μὲν οὔπω μὴ ἐμβαθύνας ὁ λιμὸς ὁλοτελῶς αὐτοὺς
and as-long indeed not-yet — having-deepened the famine wholly them
ἐξεπίεζεν, ἀπὸ τῶν πύργων ἀκοντίζοντες ἐς τοὺς Ῥωμαίους
pressed from the towers hurling at the Romans
ἔβαλλον. ἐπεὶ δὲ τούτους οἰκτρῶς ἐπεβόσκετο, καὶ ἀπορία
they-shot when and them pitiably it-fed-on and lack
τῶν ἀναγκαίων τὰ σώματα ἐλυμαίνετο, ἦν ἰδεῖν ἀμηχανίαν
of-the necessities the bodies ruined it-was to-see helplessness
δεινήν, καὶ χαλεπὴν σκυθρωπότητα, ἥτις κατεῖχε τὴν
terrible and harsh gloom which held the
πόλιν, ἐνερόχρωτάς τε τοὺς ἄνδρας, καὶ σκιᾶς εἰδώλων
city corpse-colored both the men and from-shadow of-phantoms
οὐδὲν διαφέροντας. τὸ γὰρ τοῦ λιμοῦ πάθος οἴκτιστον καὶ
nothing differing the for of-the famine suffering most-pitiable and
λίαν ὀλέθριον· ἐκτῆκον γὰρ τὸν ὄγκον τοῦ σώματος καὶ
very destructive melting for the bulk of-the body and
τὸ θερμὸν ἀποσβεννύον ψυχρότητι, ὡσανεὶ ὂν ἀράχνιον
the warm extinguishing with-cold as-if being spider-web
τοῖς ὀστέοις τὸ ἔλυτρον περιτείνεσθαι διατίθησι, κατὰ
on-the bones the covering to-be-stretched-around it-disposes by

μικρὸν ἐπιέναι τὸν θάνατον ἐκκαλούμενον. ἐπεὶ οὖν οὐχ
little to-come-on the death summoning since then not
οἷοί τε ἦσαν πρός τε τὸ ἄμαχον τοῦ λιμοῦ πάθος καὶ
able — they-were against both the invincible of-the famine suffering and
πρὸς τοσαύτην στρατιὰν διαμάχεσθαι, σπένδονταί τε τῷ
against such army to-fight-it-out they-make-terms both with-the
βασιλεῖ καὶ ὑπείκουσιν, ἐφ' ᾧ τὸν βουλόμενον ἐπὶ
emperor and yield on condition the(-one) wishing to
τὰ ἐνδοτέρω Συρίας ἀκωλύτως χωρεῖν. ὁ δέ, εἴξας
the inner of-Syria unhindered to-go he and having-yielded
καὶ τούτοις σπεισάμενος, θᾶττον ἐξιέναι τῆς πόλεως
and with-them having-made-terms quickly to-go-out from-the city
ἐκελεύσατο, τὰ σφῶν σώματα καὶ τῶν ἀναγκαίων μόνον
ordered the their-own bodies and of-the necessities only
περιφέροντες ἱματισμόν. οὕτω δὴ τὴν πόλιν αἱρεῖ, καὶ τῆς
carrying clothing thus indeed the city takes and of-the
λείας τὸ μὲν τῇ στρατιᾷ διανείμας εἰς ἀναρίθμητον
booty the indeed to-the army having-distributed into countless
πλοῦτον συναγόμενον, καὶ τοὺς σταυρικοὺς τύπους
wealth being-gathered and the cross-shaped figures
ἀνειληφώς, οὓς ἐκ χρυσοῦ καὶ λίθων ἐξειργασμένους κατὰ
having-taken-up which from gold and stones wrought in
διαφόρους μάχας, τὴν Ῥωμαϊκὴν δύναμιν τρέποντες, οἱ
various battles the Roman force routing the
Ταρσεῖς ᾐχμαλώτισαν, καὶ τὴν πόλιν ἀποχρώσῃ στρατιᾷ
Tarsians took-as-captives and the city with-sufficient army
κατασφαλισάμενος, πρὸς τὴν βασιλεύουσαν ἴετο. παραλαβὼν
having-secured to the reigning(-city) went having-taken-over
δὲ ταύτην, καὶ παρὰ τοῦ δήμου δεχθεὶς μεγαλοπρεπῶς, ἐν
and it and by the people received magnificently in
τῷ περιπύστῳ τε καὶ θείῳ σηκῷ τοὺς αἰχμαλωτισθέντας
the famous both and divine precinct the captured

σταυροὺς ἀναθείς, ταῖς τῶν ἵππων ἁμίλλαις καὶ τοῖς
crosses having-dedicated with-the of-the horses races and with-the
λοιποῖς θεωρίοις ἧστο τὸν δῆμον εὐφραίνων. φιλοθεάμονες
other spectacles sat the people cheering spectacle-loving
γὰρ τῶν ἄλλων ἀνθρώπων Βυζάντιοι.
for than-the other men Byzantines
Ἄρτι δὲ περὶ ταῦτα σχολάζοντι ἄγγελοι τῶν Μυσῶν, 5
just and about these-things being-occupied envoys of-the Mysians
πρὸς αὐτὸν ἀφιγμένοι, τοὺς εἰθισμένους ἀπαιτεῖν ἔλεγον
to him having-come the customary to-demand said
φόρους τὸν ἀρχηγὸν ἑαυτῶν, ἐφ᾽ ᾧ καὶ αὐτοὺς πρὸς τὸν
tributes the leader of-themselves on which also them to the
αὐτοκράτορα στεῖλαι τὰ νῦν. ὁ δὲ θυμῶν παρὰ τὸ εἰωθὸς
emperor to-send the now he and with-wrath beyond the custom
πληρωθεὶς (ἰσχυρογνώμων γάρ τις ἦν, καὶ μὴ εὐείκτως
having-been-filled strong-willed for a-certain he-was and not easily
ὀργῇ ἁλισκόμενος), καὶ ἀνοιδήσας ὑπὲρ τὸ μέτριον,
by-anger caught and having-swelled beyond the measure
γεγωνοτέρᾳ τε χρησάμενος, ἤπερ εἴθιστο, τῇ φωνῇ,
louder and having-used than was-customary the voice
“δεινὰ Ῥωμαίοις,” ἔφη, “περιέστηκε νῦν, εἰ τοῖς ὅπλοις τὸ
dire to-Romans he-said has-befallen now if with-the arms the
ἀντίξουν ἅπαν καταστρεφόμενοι, ἔθνει Σκυθικῷ, πενιχρῷ
opposing all subduing to-nation Scythian poor
τε τὴν ἄλλως καὶ μιαρῷ, δίκην ἀνδραπόδων φόρους
both — otherwise and abominable in-the-manner of-slaves tributes
ἐκτίσουσι.” Βάρδαν δὲ τὸν αὑτοῦ γενέτην ἐπιστραφεὶς
they-will-pay Bardas and the his-own father having-turned-to
(ἔτυχε γὰρ συνεδριάζων αὐτῷ, Καῖσαρ ἀναδειχθείς),
it-happened for sitting-with him Caesar proclaimed
ἤρετο διαπορούμενος, “ὅ τι βούλοιτο τοῖς Μυσοῖς ἡ τῶν
he-asked being-at-a-loss what — should-mean for-the Mysians the of-the

φόρων, ἣν τῶν Ῥωμαίων αἰτοῦσιν, εἴσπραξις; οἰκέτην
tributes which from-the Romans they-ask exaction household-slave
ἆρά με γεγεννηκὼς λέληθας; καὶ ὁ τῶν Ῥωμαίων
is-it me having-begotten have-you-escaped-notice and the of-the Romans
σεβάσμιος βασιλεὺς ἔθνει πενεστάτῳ καὶ μιαρῷ φόρους
august emperor to-nation poorest and abominable tributes
τελῶν ὑποκείσομαι;" ῥαπίζειν οὖν κατὰ κόρρης θᾶττον
paying shall-I-be-subject to-strike then on cheek quickly
τοὺς ἀγγέλους προσέταττε, καί, "ἄπιτε," ἔφη, "καὶ τῷ
the envoys he-ordered and go-away he-said and to-the
σκυτοτρώκτῃ καὶ διφθερίᾳ ὑμῶν ἄρχοντι ἀπαγγείλατε, ὡς
leather-gnawing and skin-clad your ruler report that
ὁ τῶν Ῥωμαίων κράτιστος καὶ μέγιστος βασιλεὺς ἐξαυτῆς
the of-the Romans mightiest and greatest emperor forthwith
τὴν σὴν μετελεύσεται χώραν, ἐντελεῖς σοι τοὺς φόρους
the your will-go-after land full to-you the tributes
ἀποδιδούς· ὡς μάθῃς, τρίδουλος ὢν ἐκ προγόνων,
paying so-that you-may-learn thrice-slave being from ancestors
δεσπότας τοὺς Ῥωμαίων ἡγεμόνας ἀνακηρύττειν, οὐχ ὡς
masters the of-Romans leaders to-proclaim not as
ἀνδράποδα τούτους φόρους αἰτεῖν." ταῦτα εἰπὼν τοὺς
slaves from-them tributes to-demand these-things having-said them
μὲν εἰς τὴν ἑαυτῶν χώραν ἀνατρέχειν ἐξέπεμπεν· αὐτὸς
indeed into the their-own land to-run-back he-sent-off he-himself
δὲ στρατιὰν ἀξιόμαχον συναγηοχώς, ἐχώρει κατὰ Μυσῶν·
and army fit-for-battle having-gathered went against Mysians
καὶ φρούρια μέν, ὅσα Ῥωμαίοις ὅμορα ἦν, εἷλεν ἐξ
and forts indeed as-many-as to-Romans bordering were he-took from
ἐπιδρομῆς. τὴν δὲ χώραν περισκεψάμενος, καὶ ταύτης τὸ
attack the and land having-surveyed and of-it the
ἀμφιλαφὲς καὶ κρημνῶδες ἰδὼν (ποιητικῶς γὰρ εἰπεῖν,
thickly-wooded and precipitous having-seen poetically for to-say

τῇ τῶν Μυσῶν χώρᾳ πάντη κακὸν κακῷ ἐστήρικται,
the of-the Mysians land everywhere evil on-evil is-set
καὶ τὴν ἀμφιλαφῆ καὶ λοχμώδη χώραν σηραγγώδης καὶ
and the thickly-wooded and bushy land cavernous and
κρημνώδης ἐκδέχεται, εἶτ' αὖθις ἐκείνην τελματώδης τε
precipitous receives then again that marshy both
καὶ σομφώδης· ὑδρηλὴ γὰρ ἐκτόπως ἡ χώρα, καὶ λίαν
and spongy watery for extraordinarily the land and very
ἀλσώδης, καὶ ὄρεσι δυσβάτοις ἑκασταχοῦ περικλείεται,
woody and by-mountains impassable on-every-side is-enclosed
παρὰ τὸν Αἷμον καὶ τὴν Ῥοδόπην κατῳκισμένη καὶ
by the Haemus and the Rhodope settled and
ποταμῶν τοῖς μεγίστοις περιῤῥεομένη)· ταύτην Νικηφόρος
by-rivers the greatest flowed-around this Nikephoros
ὁ βασιλεὺς θεασάμενος, οὐκ ᾤετο δεῖν δύναμιν τὴν
the emperor having-beheld not thought to-be-needful force the
Ῥωμαϊκὴν ἀσύντακτον δι' ἐπισφαλῶν χωρίων ἐξάγοντα,
Roman in-disorder through dangerous places leading-out
ὡσανεὶ βοσκήματα παρασκευάσαι κατακοπῆναι πρὸς τῶν
as-if cattle to-prepare to-be-cut-down by the
Μυσῶν. λέγεται γάρ, πολλάκις πταῖσαι Ῥωμαίους ταῖς
Mysians it-is-said for often to-have-stumbled Romans in-the
δυσχωρίαις Μυσίας, πανολεθρίᾳ περιπεσεῖν.
rough-places of-Mysia to-utter-ruin to-have-fallen

Nikephoros sends Kalokyres to lead the Rus against the Mysians. A mock battle in the hippodrome causes a deadly stampede, his brother Leo profiteers in grain, and the emperor walls in the palace. At Ascension a woman throws stones at him, and the author, then a student, marvels that he rides by unshaken. In Sicily Manuel is killed and Niketas captured, an earthquake destroys Claudiopolis, and a cloudburst floods Constantinople.

6 Ἔγνω οὖν, μὴ διὰ δυσεμβόλων καὶ περισφαλῶν χωρίων
he-resolved then not through hard-to-attack and dangerous places
διακινδυνεύειν. ὅθεν ἀναλαβὼν τὴν στρατιὰν πρὸς τὸ
to-run-the-risk whence having-taken-up the army to —
Βυζάντιον ἤλαυνε, καὶ Καλοκύρην ἐκεῖνον τῷ τῶν
Byzantium he-drove and Kalokyres that-one with-the of-the
πατρικίων τιμήσας ἀξιώματι, ἄνδρα ὁρμητίαν τὴν ἄλλως
patrikioi having-honored dignity a-man impetuous — otherwise
καὶ θερμουργόν, ἐς τοὺς Ταυροσκύθας ἐξέπεμψεν, οὓς
and hot-headed to the Tauroscythians sent whom
ἡ κοινὴ διάλεκτος Ῥῶς εἴωθεν ὀνομάζειν, ἐφ' ᾧ
the common dialect Rus is-wont to-name on-condition that
διανείμαντα τούτοις χρυσόν, ὃν αὐτῷ ἐνεχείρισεν, εἰς
having-distributed to-them gold which to-him he-entrusted to
κεντηνάρια πεντεκαίδεκα συγκεφαλαιούμενον, ἐς τὴν χώραν
centenaria fifteen amounting into the land
καταγαγεῖν τῶν Μυσῶν, ταύτην αἱρήσοντας. ἀλλ' ὁ μὲν
to-lead of-the Mysians it going-to-take but — indeed
Καλοκύρης ἐς τοὺς Ταυροσκύθας ἠπείγετο· αὐτὸς δὲ παρὰ
Kalokyres to the Tauroscythians hastened he-himself and to
τὸ θέατρον ἀναβάς, ἱππικὸν ἀγῶνα καθῆστο τελῶν. καὶ
the theater having-gone-up horse contest sat holding and
δῆτα τοῖς περὶ αὑτὸν στρατιώταις ἐκέλευε, καταβάντας
indeed to-the about himself soldiers ordered having-gone-down

ἐπὶ τὸ στάδιον καὶ εἰς ἀντιπάλους ἀποκριθέντας φάλαγγας
onto the stadium and into opposing having-been-divided phalanxes
σπασαμένους τὰ ξίφη, κατὰ παιδιὰν ἐπαλλήλοις χωρεῖν,
having-drawn the swords in game against-each-other to-advance
καὶ ταύτῃ γυμνάσασθαι πρὸς τὸν πόλεμον. Βυζάντιοι δέ,
and thus to-exercise for the war Byzantines and
πολεμικῶν ἔργων ἀγνῶτες τυγχάνοντες, τὴν τῶν ξιφῶν
of-warlike works ignorant being the of-the swords
καταπλαγέντες αὐγήν, καὶ τὴν ὁμόσε τῶν στρατιωτῶν
astounded gleam and the together of-the soldiers
ὁρμὴν καὶ τὸν πάταγον ὑποδείσαντες, ἐκδειματωθέντες δὲ
rush and the clash having-dreaded terrified and
τῷ καινῷ τοῦ θεάματος, εἰς φυγὴν ἐτράποντο καὶ πρὸς
by-the novelty of-the spectacle into flight turned and to
τὰς σφῶν οἰκίας ἀπέτρεχον. ἐκ δὲ τοῦ ὠθισμοῦ καὶ τῆς
the their-own houses ran-off from and the crush and the
ἀτάκτου φορᾶς οὐκ ὀλίγος φόνος συμβέβηκε, πλείστων
disorderly rush not small slaughter happened very-many
συμπατηθέντων καὶ ἀποπνιγέντων οἰκτρῶς. τοῦτο τὸ
having-been-trampled and suffocated pitiably this the
δρᾶμα μίσους ἀφορμή τις γέγονε Βυζαντίου πρὸς τὸν
drama of-hatred occasion a-certain became of-Byzantium toward the
αὐτοκράτορα. ταύτῃ παρείπετο καὶ τὸ τοῦ συναίμου
emperor to-this was-added also the of-the brother
αὐτοῦ Λέοντος καὶ Κουροπαλάτου πλημμελές· ὅστις τὸν
his Leo and Kouropalates offense who the
ἀνδρώδη καὶ στρατιωτικὸν αὐτοῦ βίον παρωσάμενος
manly and military his life having-thrust-aside
πρὸς τὸν ἀστικὸν καὶ φιλοκερδῆ μετετάξατο, ἥττων τε
to the urban and gain-loving changed-ranks weaker both
χρημάτων καὶ λημμάτων γενόμενος, σιτοδείαν εἰργάσατο
than-money and gains having-become scarcity-of-grain he-wrought

καὶ σπάνιν τῶν ἀναγκαίων ἀφιλάνθρωπον. ὀλίγου γὰρ
and dearth of-the necessities inhuman for-little for
τὸν σῖτον ὠνούμενος ἀπεδίδου πολλοῦ. καὶ ψιθυρισμὸς
the grain buying he-sold for-much and whispering
ἀνὰ τὸ ἄστυ ἐχώρει, καταβοώντων τῶν ἀστικῶν, εἰ
through the town went crying-out the townsmen if
τὰς τοῦ κοινοῦ συμφορὰς ἴδια κέρδη ποιήσειεν τῶν
the of-the commonwealth misfortunes own gains should-make of-the
αὐταδέλφων ἡ ξυνωρίς, ἐς τὴν κερδαίνουσαν συνωθοῦσα
brothers the pair into the profiting pushing
πήραν τὰ τῶν πολλῶν. καὶ γὰρ δὴ καὶ ὁ βασιλεὺς
purse the(-goods) of-the many and for indeed also the emperor
φόρους τοὺς μήπω ἐπινοηθέντας ἀπαραιτήτως ἐκαινοτόμει,
tributes the never-yet devised implacably innovated
ἐς τὸ στρατιωτικὸν λέγων χρημάτων ὅτι δεῖσθαι συχνῶν,
for the military saying of-money that to-need much
καὶ τούτοις κατέτρυχε τὸ ὑπήκοον. λέγεται δέ, εἴτε
and with-these wore-out the subject(-people) it-is-said and whether
πρὸς τῶν τὰ μετέωρα περισκοπούντων τινός, εἴτε καὶ
by those the heavenly(-things) observing someone or also
τῶν μονάδα βίον ἐπανῃρημένων καὶ ἄζυγα, διενωτισθῆναι
of-those solitary life having-chosen and unwed to-have-been-told
τὸν αὐτοκράτορα, ὡς παρὰ τὴν βασίλειον ἑστίαν ἐκπλήσει
the emperor that in the imperial hearth he-will-end
τὸν βίον, ἀναιρεθεὶς παρὰ τῶν ὁμοεθνῶν. περιδεὴς οὖν
the life slain by the fellow-tribesmen very-fearful then
τῷ χρησμῷ γεγονώς, περίβολον ἐκ τοῦ θατέρου μέρους
by-the oracle having-become a-circuit-wall from the one part
τοῦ πρὸς θάλατταν ἐπικλινοῦς τῶν ἀνακτόρων τειχίζειν
the toward sea sloping of-the palace to-wall
ἀρξάμενος, κατὰ θάτερον πρὸς θάλατταν συνεπέρανε, καὶ
having-begun on the-other toward sea he-completed and

τεῖχος τὸ νῦν ὁρώμενον ὑψηλόν τε καὶ ὀχυρὸν ἐδομήσατο,
wall the now seen high both and strong built
καὶ τὴν βασίλειον ἑστίαν, ὡς ὑπετόπαζεν, ἠσφαλίσατο.
and the imperial hearth as he-surmised secured
Πρόκενσον δὲ κατὰ τὴν τοῦ Σωτῆρος ἀνάληψιν κατὰ 7
procession and at the of-the Savior Ascension according-to
τὸ εἰθισμένον ἔξω τειχῶν ἐπὶ τὴν καλουμένην Πηγὴν
the custom outside walls to the called Spring
ποιησαμένου τοῦ βασιλέως (νεὼς δὲ ταύτῃ περικαλλὴς τῇ
having-made the emperor temple and there most-beautiful to-the
Θεοτόκῳ δεδόμηται), διαμάχη τις μεταξὺ Βυζαντίων καὶ
God-bearer has-been-built fighting a-certain between Byzantines and
Ἀρμενίων συνέβαινεν, ὡς πολλοὺς πρὸς τῶν Ἀρμενίων
Armenians happened so-that many by the Armenians
τρωθῆναι τῶν ἀστικῶν. ἄρτι δὲ πρὸς ἑσπέραν ἐπὶ τὰ
to-be-wounded of-the townsmen just and toward evening to the
ἀνάκτορα τοῦ βασιλέως ἐλαύνοντος, ὕβρεσι κἀκ τοῦ
palace the emperor riding with-insults and-from the
ἀναφανδὸν ἐχρῶντο Βυζάντιοι. καί τι γύναιον σὺν
open used Byzantines and a-certain woman with
τῷ θυγατρίῳ εἰς τοσαύτην ἀπόνοιαν ἤλασεν, ὡς τοῦ
the little-daughter into such madness drove so-that from-the
στέγους προκύψαι καὶ λίθους βαλεῖν κατὰ τοῦ ἄνακτος.
roof to-lean-out and stones to-throw against the lord
ὃ καὶ τῇ ὑστεραίᾳ πρὸς τοῦ Πραίτωρος ληφθὲν δίκας
which also on-the next-day by the Praetor taken penalties
μετὰ τοῦ θυγατρίου ἀπέτισεν, ἐπί τι προάστειον πυρὸς
with the little-daughter paid on a-certain suburb of-fire
γεγονὸς ἀνάλωμα, Ἀναράτας καλούμενον. τότε δὴ καὶ
having-become consumption Anaratai called then indeed also
αὐτὸς ἐπεχωρίαζον ὁ ταῦτα γράφοντι Βυζάντιος, ἐπὶ
myself was-staying the these-things writing (in)-Byzantium for

λόγων συλλογήν τε καὶ παίδευσιν, μειράκιον ὤν. ἔφιππόν
of-letters gathering both and education a-lad being on-horseback
τε τὸν αὐτοκράτορα Νικηφόρον βάδην ἰόντα βλέπων διὰ
both the emperor Nikephoros at-a-walk going seeing through
τοῦ ἄστεος, καὶ ἀπερικτύπητον ταῖς τοσαύταις ὕβρεσι
the town and unshaken by-the such insults
πέλοντα, καὶ τὸ φρόνημα σταθηρὸν διασώζοντα, καὶ ὡς
being and the spirit steady preserving and as
μή τινος ἐπισυμβάντος καινοῦ διακείμενον, ἐτεθήπειν τὸ
not anything having-befallen new being-disposed I-was-amazed-at the
ἀκατάπληκτον τοῦ ἀνδρός, ὅπως ἄτρεστον παρὰ τὰ δεινὰ
imperturbability of-the man how fearless amid the dangers
τὴν ψυχὴν συνετήρει εὐγένειαν. ἀλλὰ τὴν μὲν στάσιν
the soul he-kept nobility but the indeed riot
ἡ νὺξ ἐπελθοῦσα διέλυσεν· ὁ δὲ βασιλεὺς καὶ ἄλλως
the night having-come dissolved the and emperor also otherwise
μεγαλόφρων τε ὤν, καὶ μὴ εὔκολος εἴκειν ὀργῇ, τὰ
high-minded both being and not easy to-yield to-anger the(-things)
τῇ προτεραίᾳ εἰς αὐτὸν πεπαρῳνημένα παρὰ τῶν
on-the previous-day against him drunkenly-committed by the
ἀστικῶν ἔργον μᾶλλον μέθης ἢ φορᾶς ἀτάκτου λαοῦ
townsmen work rather of-drunkenness than of-rush disorderly of-a-people
λογισάμενος, τῇ λήθῃ παρέπεμψεν. αὖθις δὲ πυρφόρους
having-reckoned to-the oblivion consigned again and fire-bearing
τριήρεις ἀσφαλῶς ἑρματίσας, καὶ μυριοφόρους ὁλκάδας
triremes securely having-ballasted and ten-thousand-bearing merchantmen
στρατιωτῶν καὶ ὅπλων γεμίσας, ἐς Σικελίαν ἔστελλε, τοῦ
with-soldiers and arms having-filled to Sicily sent of-the
μὲν ναυτικοῦ Νικήταν ἐν Πατρικίοις τελοῦντα, θεοφιλῆ
indeed fleet Niketas among Patrikioi being God-loving
καὶ σεβάσμιον ἄνθρωπον, εἰ καὶ τομίας ἐτύγχανε,
and reverend person if even eunuch he-happened-to-be

προχειρισάμενος στρατηγόν· τῆς δὲ ἱππικῆς παρατάξεως
having-appointed general of-the and horse array
Μανουήλ, αὐτανέψιον αὐτοῦ, τῷ τῶν Πατρικίων καὶ αὐτὸν
Manuel cousin his with-the of-the Patrikioi also himself
ἀξιώματι διαπρέποντα, ἄνδρα θερμουργὸν καὶ αὐθέκαστον,
dignity distinguished a-man hot-headed and self-willed
καὶ ἀπερισκέπτῳ φορᾷ εἴκοντα. ἐπεὶ δὲ περαιωσάμενοι
and to-unconsidered impetus yielding when and having-crossed
τὸν Ἀδρίαν τῆς Σικελίας προσέσχαν, τῶν πορθμείων
the Adriatic — at-Sicily they-put-in from-the boats
ἀποβάντες εἰς φάλαγγα παρετάττοντο, καὶ τοσαύτης
having-disembarked into phalanx they-drew-up and such
εὐετηρίας ἀπέλαυσαν παρὰ τὴν ἀρχήν, ὡς αὐτοβοεὶ τὰς
prosperity they-enjoyed at the beginning so-that at-the-first-shout the
κλεινὰς καὶ περιπύστους Συρακούσας ἑλεῖν καὶ Ἰμέραν,
famous and renowned Syracuse to-take and Himera
καὶ προσέτι Ταυρομένειον καὶ Λεοντίνους ἀναιμωτὶ
and besides Tauromenion and Leontini without-bloodshed
παραστήσασθαι. Ἀλλὰ γὰρ οὐκ ἔμελλεν ἡ βάσκανος τύχη
to-bring-over but for not was-going the envious fortune
διὰ τέλους πλησίστιος αὐτοῖς ἐπιπνεῖν, σφοδρὸν δὲ καὶ
through end with-full-sail on-them to-blow violent but and
ἄγριον ἀντιπνεύσασα, ὑποβρύχια τὰ πράγματα τέθεικε.
fierce having-blown-against under-water the affairs put
δηλώσει δὲ ταῦτα ὁ λόγος ἤδη σαφῶς.
it-will-show and these-things the account presently clearly
Σικελιῶται πρὸς τοσαύτην ῥοπὴν καὶ ἀνανταγώνιστα τῶν 8
Sicilians against such force and invincible of-the
Ῥωμαίων φρονήματα οὐχ οἷοί τε ὄντες ἀντικαθίστασθαι,
Romans spirits not able — being to-withstand
τὰς πόλεις ἀπολιπόντες τὰς δυσχωρίας ὑπῄεσαν, καὶ ἐπὶ
the cities having-left the rough-places went-into and in

τόπων ἐπικαίρων ἠθροίζοντο. κρημνώδης γὰρ ὡς τὰ πολλὰ
places advantageous gathered precipitous for as the most
καὶ δενδρώδης ἡ νῆσος, ἱκανή τε τῷ βουλομένῳ
and wooded the island sufficient and for-the(-one) wishing
φρουρὰν αὐτοσχέδιον ἐπιχορηγεῖν. ὁ τοίνυν Μανουήλ,
guard improvised to-supply — therefore Manuel
δέον αὐτῷ τὰς πόλεις παρειληφότα φρουρεῖν καὶ
it-being-needful for-him the cities having-taken-over to-guard and
χώραν, ὅση εὔβοτος ἦν καὶ ἱππήλατος, ἀπείργειν τε
land as-much-as well-pastured was and horse-riding to-bar and
τὰς φυγάδας χιλῶν καὶ τῶν ἄλλων βρωτῶν· οὕτω γὰρ
the fugitives from-fodder and the other foods thus for
τῷ λιμώττειν τρυχόμενοι δυεῖν θάτερον ἔπαθον
by-the to-be-starving worn-down of-two the-other they-would-have-suffered
ἄν, ἢ Ῥωμαίοις ἑαυτοὺς ἐνεχείρισαν, ἢ σπάνει
— either to-Romans themselves they-would-have-handed-over or from-lack
τῶν ἀναγκαίων διαπεφωνήκεισαν· ὁ δέ, ὁρμητίας τε ὤν,
of-the necessities would-have-perished he but impetuous both being
καὶ σφαδάζων θυμῷ καὶ νεότητι, τὸ δραστήριον δὲ καὶ
and quivering with-spirit and youth the energy and also
ἐπήβολον οὐ πάνυ δεόντως προσκεκτημένος, ταῖς προβάσαις
effectiveness not quite fittingly having-acquired by-the past
ἤδη νίκαις ὑπὲρ τὸ εἰκὸς ἐπαρθείς, διὰ τῶν ἐπισφαλῶν
already victories beyond the likely elated through the dangerous
ἐκείνων χώρων ἐπήει, τοὺς φυγάδας ἀνερευνώμενος. ἄρτι
those places advanced the fugitives searching-out just
δὲ κατὰ τὴν δυσχωρίαν διαλυθείσης τῆς φάλαγγος, καὶ
and in the rough-ground having-been-broken the phalanx and
διὰ σκοπέλων καὶ χηραμῶν ἀσυντάκτως χωρούσης,
through crags and holes in-disorder going
προλοχίσαντες τοὺς ἄνδρας οἱ βάρβαροι, πατάγῳ
having-laid-ambush-for the men the barbarians with-clatter

καὶ ἀσήμοις φωναῖς τῶν λόχων διανίσταντο, καὶ
and inarticulate cries from-the ambushes rose-up and
αὐτοῖς αἰφνίδιον ἐπετίθεντο. οἱ δὲ τῷ ἀπροσδοκήτῳ
on-them suddenly set those and by-the unexpected
καταπλαγέντες, καὶ μηδὲ τὸ ἡλιακὸν φῶς τῷ συνηρεφεῖ
astounded and not-even the solar light by-the overshadowing
τῆς λόχμης ἐώμενοι καθορᾷν, εἰς φυγὴν ἀπέκλιναν· οἱ δὲ
of-the thicket being-allowed to-see into flight turned the and
βάρβαροι ἐπιτεθέντες ἀνῄρουν τούτους ἀνηλεῶς, ὥς τινα
barbarians having-set-on killed them pitilessly like some
θύματα· τηνικαῦτα δὲ κτείνειν τοὺς ἄνδρας ἀπείχοντο, ὅτε
victims then and to-kill the men they-refrained when
τούτοις ἥ τε δύναμις καὶ ὁ θυμὸς ἀπηγόρευσεν. ἀνῃρέθη
for-them the both strength and the spirit gave-out was-killed
δὲ καὶ αὐτὸς ὁ Μανουήλ· ὅσοι δὲ τῶν Ῥωμαίων τὰ
and also himself — Manuel as-many-as and of-the Romans the
ξίφη διέφυγον, ζωγρίαι πρὸς τῶν Ἀγαρηνῶν ἡλίσκοντο. οἱ
swords escaped alive by the Hagarenes were-captured they
δέ, ἐπεὶ τὸν πεζὸν στρατὸν παρεστήσαντο, ἐπὶ τὴν ἠϊόνα
and when the foot army had-overcome to the shore
ταχυδρομήσαντες, ἵνα αἱ Ῥωμαϊκαὶ τριήρεις ὑφώρμουν,
having-run-swiftly where the Roman triremes lay-at-anchor
ἐγκρατεῖς ἐξ ἐφόδου τῶν πλείστων ἐγένοντο· ἥλω δὲ
masters from attack of-the most became was-taken and
καὶ ὁ Πατρίκιος Νικήτας, καὶ δορυάλωτος τῷ τῶν
also the Patrikios Niketas and spear-captured to-the of-the
Ἄφρων κατάρχοντι παρεπέμπετο. ἐκ γοῦν τοσούτου
Africans ruler was-sent from at-any-rate so-great
τοῦ στρατοῦ ὀλίγοι τινὲς διαδράντες καὶ εὐαρίθμητοι, ὡς
the army few some having-escaped and easily-counted to
τὸν αὐτοκράτορα Νικηφόρον ἀφίκοντο· ὁ δὲ τὴν ἀπώλειαν
the emperor Nikephoros came he and the loss

διενωτισθεὶς τῆς τοιαύτης στρατιᾶς, ἠνιάθη μὲν καὶ τὴν
having-heard of-the such army was-grieved indeed and in-the
ψυχὴν ἤλγησε τῷ τοσούτῳ πταίσματι καὶ ἀλλοκότῳ
soul was-pained at-the so-great disaster and strange
συμβάματι. ὑπολογιζόμενος δὲ τῶν ἀνθρωπίνων πραγμάτων
occurrence reckoning but of-the human affairs
τὸ ἄστατον, γενναίως ἔφερε τὸ συμβάν, ἰσχυρογνώμων
the instability nobly bore the happening strong-willed
τις ὤν, καὶ ἐν δυσκολίᾳ πραγμάτων διασώζειν εἰδὼς
a-certain being and in difficulty of-affairs to-preserve knowing
τὴν ψυχὴν ἀταπείνωτον. Αὖθις δὲ κατὰ τῶν τὴν Συρίαν
the soul unhumbled again and against those — Syria
οἰκούντων Ἀγαρηνῶν ἐξήρτυε τὸν στρατόν.
dwelling Hagarenes he-prepared the army

9 Κατὰ δὲ τὸν αὐτὸν χρόνον, ἄρτι τῆς θερινῆς τροπῆς
at and the same time just the summer solstice
μεταβαλλούσης ἐπὶ τὸ μετόπωρον, ἔσεισεν ὁ Θεὸς μέγα,
changing to the autumn shook — God greatly
ὡς καὶ οἰκίας καὶ ἄστη ἀνατραπῆναι. Κλαυδιούπολίν
so-that both houses and towns to-be-overturned Claudiopolis
τε, τὸ εὐδαιμονέστατον χωρίον τῶν Γαλατῶν, τότε
and the most-prosperous place of-the Galatians then
συνέβη, κατεριπωθεῖσαν ἐκ τῆς ἀνυποστάτου κινήσεως
it-happened thrown-down from the irresistible motion
καὶ ἐνόσεως, αἰφνίδιον τῶν οἰκητόρων τάφον γενέσθαι,
and shaking suddenly of-the inhabitants tomb to-become
καὶ πολλοὺς τῶν ἐπηλύδων παρατυχόντας ἐν ἀκαρεῖ
and many of-the newcomers happening-to-be-by in an-instant
διαφθαρῆναι. αἴτιον δὲ τῆς τοσαύτης ἐνόσεως καὶ κινήσεως
to-be-destroyed cause and of-the such shaking and motion
ἀτμοὺς μὲν οἱ μαθηματικοὶ καὶ ἀναθυμιάσεις μυθολογοῦσί
vapors indeed the astronomers and exhalations tell-fables

τινας, ἐναποκλειομένας τοῖς κόλποις τῆς γῆς, αὖθίς τε εἰς
certain shut-up in-the bosoms of-the earth again and into
πνεῦμα καταιγίδος συνισταμένας, ἐπεὶ μὴ ἀθρόον συμβαίνει
blast of-whirlwind gathering since not all-together happens
τὴν διαπνοὴν τούτων ἐκτρέχειν, διὰ τὴν τῶν πόρων
the breathing-out of-them to-run-out because-of the of-the passages
στενότητα, συνειλεῖσθαί τε καὶ περιδινεῖσθαι, καὶ τὰ κοῖλα
narrowness to-be-rolled-up both and to-be-whirled-around and the hollows
περιδονεῖν μετὰ σφοδρᾶς τῆς κινήσεως, καὶ τὸ ἐπιπροσθοῦν
to-shake with violent the motion and the in-front
καὶ περιέχον ἅπαν σαλεύειν, ἕως ἂν ἐκ τοῦ τέως εἴργοντος
and surrounding all to-make-rock until — from the meanwhile confining
διεκπνεύσωσι, καὶ πρὸς τὰ ἔξωθεν ἐξατμισθέντα εἰς τὸν
they-breathe-out and to the(-parts) outside evaporated into the
ὁμογενῆ διασκεδασθεῖεν ἀέρα. ἀλλὰ ταῦτα μὲν ἡ τῶν
kindred may-be-dispersed air but these-things indeed the of-the
Ἑλλήνων εἰκαιομυθία πρὸς τὸ ταύτῃ δοκοῦν ἐξηγήσατο. ἐγὼ
Hellenes idle-fabling for the thus seeming set-forth I
δὲ τῷ θείῳ Δαβὶδ συνεπόμενος, ἐπισκοπῇ φαίην τοῦ Θεοῦ
and the divine David following by-visitation I-would-say — of-God
πρὸς ἡμᾶς τὸν τοσοῦτον κλόνον ἐγγίνεσθαι, ὅταν ἐπὶ τοῖς
to us the so-great tumult to-arise when on the
ἡμῶν ἐπαγρυπνήσῃ ἐπιτηδεύμασι, παρὰ τὸν θεῖον δρωμένοις
our may-watch practices against the divine done
θεσμόν, εἴ πως ἀλλὰ ταύτῃ δείσαντες ἄνθρωποι τῶν μὲν
ordinance if somehow at-least thus having-feared men from-the indeed
φαύλων ἔργων ἀφέξοιντο, ἀνθέξοιντο δὲ τῶν ἐπαινετῶν.
wicked works might-abstain might-hold-to and the praiseworthy(-ones)
ἀλλ᾽ οὕτω μὲν ἡ Κλαυδιούπολις τῇ τοῦ σεισμοῦ βίᾳ ἐκ
but so indeed — Claudiopolis by-the of-the earthquake force from
βάθρων ἀνετράπη τότε πᾶσα, καὶ συνεχύθη, τῆς ὀργῆς
foundations was-overturned then all and was-confounded of-the wrath

τοῦ Θεοῦ ἐκπιοῦσα τὸ ποτήριον ἄκρατον. παρὰ τοῦτον δὲ
— of-God having-drained the cup unmixed during this and
τὸν ἐνιαυτόν, θερείας ὥρας κατὰ τὸ μεσαίτατον, ἄρτι τοῦ
the year of-summer season at the very-middle just the
ἡλίου τῷ καρκίνῳ προσεπιβαίνοντος, ὄμβρος ἐν Βυζαντίῳ
sun to-the Cancer mounting rainstorm in Byzantium
κατερῥάγη καὶ τοῖς προσομοροῦσιν αὐτῷ, οἷον οὐ συνέβη
burst and on-the bordering it such-as not happened
κατενεχθῆναι τὸ πρότερον. κλινούσης γὰρ τῆς ἡμέρας
to-be-brought-down the before declining for the day
(παρασκευὴ δὲ ἦν) ἀρξάμενον τὸ δεινὸν εἰς ἐννάτην ὥραν
Friday and it-was having-begun the dread to ninth hour
κατέληγεν· οὕτω δὲ ῥαγδαία τις ἡ ὑέτισις κατεφέρετο,
ceased so and violent a-certain the rainfall was-borne-down
ὡς μὴ σταγόνας ὁρᾷν ὀμβριζομένας κατὰ τὸ σύνηθες,
so-that not drops to-see raining according-to the usual
ἀλλά τινας ἐπικλύζοντας ὕδασιν ὀχετούς. οὐχ ὑπελείφθη
but certain flooding with-waters channels not was-left
γοῦν τῶν σηκῶν ἢ τῶν περιπύστων οἴκων, ὅστις ἄνωθεν
at-any-rate of-the precincts or of-the famous houses which from-above
ἐκ τῆς ὀροφῆς οὐκ ἐπληροῦτο τοῦ ὕδατος, καίτοι τῶν
from the roof not was-filled with-the water although the
κατοίκων μόχθῳ ἀπαντλούντων αὐτὸ πρὸς τὰ ἄμφοδα·
inhabitants with-toil baling it to the streets
τὸ μὲν ἀπέῤῥεε, τὸ δ' ἐπέῤῥεε, καὶ ἀκαταγώνιστον ἦν
the indeed flowed-off the and flowed-on and irresistible was
τὸ δεινόν. ἐπὶ τριῶν οὖν ὡρῶν διαστήματι κατέσχεν
the dread for three then hours' interval held
ὁ ὑετός, καὶ ἦν ὁρᾷν ποταμοὺς πελαγίζοντας διὰ
the rain and it-was to-see rivers spreading-into-a-sea through
τῶν τῆς πόλεως στενωπῶν, καὶ τὸ παρασυρόμενον
the of-the city narrow-lanes and the swept-along

τῶν ἐμψύχων διαφθείροντας. οἱ δὲ ἄνθρωποι ἐλεεινῶς
of-the living(-creatures) destroying the and men pitiably
ἀπεθρήνουν οἰμώζοντες, κατακλυσμὸν αὖθις ἐπισκῆψαι
lamented wailing deluge again to-have-struck
κατ᾽ ἐκεῖνον τὸν τεθρυλλημένον ὑποτοπάζοντες· ἀλλ᾽ ἡ
like that the storied surmising but the
συμπαθὴς καὶ φιλάνθρωπος πρόνοια ἶριν διὰ τῆς
compassionate and humane providence rainbow through the
νεφέλης ἐρείσασα, τῇ ταύτης ἀναλάμψει τὴν τοῦ ὑετοῦ
cloud having-set by-the its shining-forth the of-the rain
κατήφειαν διεσκέδασε, καὶ αὖθις τὸ τῆς φύσεως σύγκριμα
gloom dispersed and again the of-the nature compound
ἐπὶ τὴν προτέραν κατάστασιν ἐπανήγετο. συνέβη δὲ καὶ
to the former state was-restored it-happened and also
αὖθις ὄμβρον καταῤῥαγῆναι τεθολωμένον καὶ σύμμικτον
again rainstorm to-burst turbid and mixed
τέφρᾳ, ὡς ἐπὶ καμινιαίας αἰθάλης, καὶ χλιαρὰν δὲ παρεῖχε
with-ash as from furnace soot and lukewarm too it-gave
τοῖς ἐπαφωμένοις αὐτοῦ τὴν ποιότητα.
to-those touching it the quality

Nikephoros marches into Syria, passes Antioch, and at Edessa prays in the shrine of the Confessors. At Mempetze he carries off the tile that bore the imprint of the Savior's face from the cloth sent to Abgar and enshrines it in the palace church. He crosses the Lebanon and sacks Arka; an eclipse darkens the day on 22 December. Before Antioch he spares the great city rather than spend his army on it, builds a fort on a hill in three days to harry it, and returns to Constantinople.

10 Ὁ δὲ βασιλεὺς Νικηφόρος (αὖθις γὰρ ὁ λόγος ἐπάνεισιν,
the and emperor Nikephoros again for the account returns
ἔνθεν τὸ ἴχνος ἀπέκλινε), τὴν Ῥωμαϊκὴν ἀνειληφὼς δύναμιν,
whence the track turned-aside the Roman having-taken-up force
ἐπὶ τὴν ἐπὶ Συρίας Ἀντιόχειαν ἔθει, καὶ χάρακα ταύτῃ
to the in Syria Antioch hastened and a-palisade there
πηξάμενος, ἐπείπερ ἀποχρώντως ἔχουσα τῶν ἀναγκαίων
having-fixed since sufficiently having of-the necessities
ἐτραχηλία, καὶ γαυρουμένη ἐκ τοῦ εὐθέος σπείσασθαι οὐκ
it-swaggered and exulting from the straight(-way) to-make-terms not
ἠνείχετο, μὴ βουλόμενος αὐτὴν ἑλεπόλεσι κατεριπῶσαι·
it-endured not wishing it with-siege-engines to-throw-down
ἤδει γὰρ κατὰ μικρὸν τροπαίοις καὶ μηχαναῖς ταύτην
he-knew for by little with-trophies and devices it
παραστησόμενος, ὀλίγον αὐτῇ καιρὸν παρακαθισάμενος,
going-to-bring-over little by-it time having-sat-down
καὶ ταῖς φάλαγξι καὶ τῷ κόσμῳ τῶν ὅπλων τοὺς ἔνδον
and with-the phalanxes and the order of-the arms those within
καταπλήξας οὐχ ἥκιστα· ἐκεῖθεν ἀπάρας τὴν μεσογαίαν
having-astounded not least from-there having-set-out the inland
διήει, ἣν καὶ Παλαιστίνην καλοῦσιν, εὐδαίμονα πᾶσαν
passed-through which also Palestine they-call prosperous all
καὶ ῥέουσαν μέλι καὶ γάλα, κατὰ τὴν θείαν γραφήν· ἐν
and flowing-with honey and milk according-to the divine scripture on

δεξιᾷ δὲ τὴν Κιλικίαν εἶχε καὶ τὰ παράκτια. τὴν Ἔδεσσαν
right and — Cilicia he-had and the coastal(-parts) — Edessa
οὖν κατειληφώς, κἂν τῷ σηκῷ τῶν θείων Ὁμολογητῶν
then having-reached and-into the precinct of-the divine Confessors
εἰσεληλυθὼς καὶ τὸ θεῖον ἐξευμενισάμενος, τὴν στρατιὰν
having-entered and the divine having-propitiated the army
διανέπαυεν. ἠκηκόει γάρ, τὴν ἐν κεράμῳ τοῦ Σωτῆρος
he-rested he-had-heard for the on tile of-the Savior
καὶ Θεοῦ ἐκτυπωθεῖσαν μορφὴν ἐν τῷδε τῷ φρουρίῳ
and God impressed form in this-here the fort
παρακατέχεσθαι. ἐκτυπωθῆναι δέ φασι τοῦτον τὸν τρόπον.
to-be-kept to-have-been-impressed and they-say in-this the way
Θαδδαίου τοῦ ἀποστόλου Ἀβγάρῳ πρὸς τοῦ Σωτῆρος
Thaddeus the apostle to-Abgar by the Savior
τῷ τῆς Ἐδέσσης ἀποσταλέντος τοπάρχῃ, ὡς αὐτὸν τῆς
to-the — of-Edessa having-been-sent toparch so-that him of-the
συνεχούσης παρέσεως διὰ τοῦ θεανδρικοῦ ἀπαλλάξειεν
gripping paralysis through the divine-human he-might-free
ἐκτυπώματος, ἐνταυθοῖ παροδεύοντος τὸν πέπλον, ᾧ τῆς
imprint here passing-by the cloth on-which of-the
αὐτοῦ μορφῆς τὸ εἶδος ἀῤῥήτως ὁ Χριστὸς ἀνετύπωσε,
his form the appearance ineffably — Christ impressed
κεράμοις ἐν ἀποκειμένοις πρὸ τοῦ ἄστεος κατακρύψαι, ὡς
tiles in lying before the town to-hide as
ἐς τὴν ὑστεραίαν ἐναποληψομένους τοῦτον ἐκεῖθεν. συνέβαινε
on the next-day going-to-take-up it from-there it-happened
δὲ κατὰ πᾶσαν τὴν νύκτα φωτὶ τοὺς κεράμους ἀμηχάνῳ
and through all the night with-light the tiles extraordinary
καταλάμπεσθαι. πρωῒ δὲ τὸν μὲν Θαδδαῖον ἀνειληφότα
to-be-lit-up at-dawn and — indeed Thaddeus having-taken-up
τὸν πέπλον ὁδοῦ τῆς προκειμένης ἔχεσθαι· τὸν δὲ κέραμον,
the cloth road the lying-ahead to-hold the and tile

οὗπερ ἔτυχε προσψαύσας ὁ πέπλος, τὸν θεανδρικὸν
which-indeed it-happened having-touched the cloth the divine-human
τοῦ Σωτῆρος τύπον ἀκραιφνῶς ἐναπομάξασθαι. τοῦτον
of-the Savior figure purely to-have-received-the-impress this
ἀνειληφότες οἱ βάρβαροι ἐν θαύματι καὶ σεβάσματι
having-taken-up the barbarians in wonder and reverence
παρὰ τὸ φρούριον διεφύλαττον. τότε δὲ Νικηφόρος ὁ
at the fort guarded then and Nikephoros the
βασιλεύς, ἐξελὼν τὸ ἄστυ, τὸν τοιοῦτον σεπτὸν κέραμον
emperor having-taken the town the such august tile
ἐκεῖθεν ἀνείληφε, καὶ χρυσῷ καὶ λίθοις θήκην διασκευάσας
from-there took-up and with-gold and stones a-case having-made
μετέπειτα, καὶ ταύτῃ περιστείλας τοῦτον σεπτῶς, ἐν τῷ
afterward and in-this having-enshrined it reverently in the
τῆς Θεομήτορος ναῷ, τῷ κατὰ τὴν βασίλειον ὄντι ἑστίαν,
of-the Mother-of-God temple the in the imperial being hearth
ἀνέθηκεν. ἐπεὶ δὲ τὸ Μέμπετζε παρείληφε φρούριον,
dedicated when and the Mempetze he-had-taken fort
τὸν Λίβανον τὸ ὄρος ἐγκαρσίως ὑπερβάς, τῇ Τριπόλει
the Lebanon the mountain crosswise having-crossed — at-Tripolis
προσέσχεν, ἣν ἐχυρὰν καὶ δυσάλωτον τῶν ἄλλων πόλεων
he-put-in which strong and hard-to-take than-the other cities
διαφερόντως ἰδών, ἐπεὶ καὶ αἱ νῆες αὐτῷ ἀντιπνοίαις
exceedingly having-seen since also the ships to-him by-contrary-blowings
ἀνέμων ἐκκρουόμεναι καθυστέρησαν, ταύτην παραδραμὼν
of-winds beaten-back were-late it having-passed-by
τὸ Ἄρκα φρούριον ἔγνω πολιορκεῖν, χρῆμα πλούτου
— Arka fort he-resolved to-besiege a-store of-wealth
κατέχον ἔνδον ἀμύθητον. ἐντεῦθεν τρισὶ χάραξι περιζώσας
holding within untold thereupon with-three palisades having-girded
αὐτό, ἐπολιόρκει ἐῤῥωμενέστατα, καὶ ταῖς ἑλεπόλεσι τὰ
it he-besieged most-vigorously and with-the siege-engines the

τούτου πυργώματα καθελών, ἐφ' ὅλοις ἡλίοις ἐννέα
its towers having-taken-down within whole suns nine
ἐπόρθησέ τε, καὶ ἀμύθητον ἐκεῖθεν πλοῦτον συνεξεφόρησε·
he-sacked both and untold from-there wealth carried-off
καὶ ἄλλα δὲ φρούρια πλεῖστα εἶλεν αὐτοβοεί.
and others too forts very-many he-took at-the-first-shout
Ἐν ᾧ δὲ ταῦτα τῷ βασιλεῖ κατὰ τὴν Συρίαν 11
in which and these-things by-the emperor in — Syria
ἐπράττετο, ἔκλειψιν συνέβη περὶ χειμερινὰς τροπὰς τοῦ
were-being-done eclipse it-happened about winter solstice of-the
ἡλίου γενέσθαι, οἵαν μηδέπω συνέβη γενέσθαι τὸ πρότερον,
sun to-occur such-as never happened to-occur the before
πλὴν ἐκείνην τὴν ἐπὶ τοῦ δεσποτικοῦ πάθους προβᾶσαν
except that the at the Lord's passion having-gone-before
διὰ τὴν τῶν Ἰουδαίων ἀπόνοιαν, ἣν ἐπλημμέλησαν,
because-of the of-the Jews madness in-which they-offended
σταυρῷ τὸν τῶν ὅλων δημιουργὸν προσηλώσαντες. τὸ
on-a-cross the of-the all craftsman having-nailed the
δὲ τῆς ἐκλείψεως εἶδος τοιοῦτον συνέβαινεν. εἰκάδα
and of-the eclipse appearance such happened twentieth
δευτέραν ἤλαυνεν ὁ Δεκέμβριος, τετάρτῃ δὲ τῆς ἡμέρας
second was-driving the December at-fourth and of-the day
ὥρᾳ, σταθηρᾶς αἰθρίας οὔσης, σκότος ἐπέσχε τὴν γῆν, καὶ
hour steady clear-sky being darkness held the earth and
οἱ διαφανεῖς τῶν ἀστέρων ἅπαντες κατεφαίνοντο. ἦν δὲ
the bright of-the stars all appeared it-was and
ὁρᾷν τὸν τοῦ ἡλίου δίσκον ἀλαμπῆ καὶ ἀφώτιστον, αἴγλην
to-see the of-the sun disk without-shine and without-light gleam
δέ τινα ἀμυδρὰν καὶ ἰσχνήν, ταινίας δίκην λεπτῆς,
but some faint and thin of-a-ribbon in-the-manner fine
κατὰ τὸ ἄκρον κυκλόθεν τὸν δίσκον περιαυγάζουσαν. κατὰ
along the edge all-around the disk shining-around by

μικρὸν δὲ τὴν σελήνην παραμείβων ὁ ἥλιος (ὡρᾶτο
little and the moon passing the sun was-seen
γὰρ αὕτη κατὰ κάθετον αὐτὸν ἀντιφράττουσα) τὰς ἰδίας
for it in perpendicular it blocking-off the own
ἀκτῖνας ἐξέπεμπε, καὶ φωτὸς αὖθις ἐπλήρου τὴν γῆν. τῷ
rays sent-out and of-light again filled the earth by-the
καινῷ οὖν καὶ ἀσυνήθει τοῦ ὁράματος ἐκδειματωθέντες οἱ
novel then and unaccustomed of-the sight terrified the
ἄνθρωποι, τὸ θεῖον ἱκετηρίαις, ὡς τὸ εἰκός, ἐξιλάσκοντο.
men the divine with-supplications as the likely propitiated
τότε καὶ αὐτὸς ἐγὼ τῷ Βυζαντίῳ ἐπεχωρίαζον, μετιὼν
then also myself I — in-Byzantium was-staying pursuing
τὴν ἐγκύκλιον παίδευσιν. ὁ δὲ βασιλεὺς (δεῖ γὰρ τὸν
the general education the and emperor it-is-needful for the
λόγον τοῦ εἱρμοῦ ἐκτραπέντα ἐπ᾽ αὐτὸν τοῦτον αὖθις
account from-the sequence having-turned-aside to him himself again
ἐπαναγαγεῖν), ἐπεὶ τὰ τῶν ἐναντίων φρούρια εἷλεν ἀκονιτί,
to-bring-back when the of-the opponents forts he-took without-dust
ἐπὶ τὴν Ἀντιόχου ἐπορεύετο παμπληθεί, καὶ πρὸ τῶν
to the(-city) of-Antiochos went in-full-force and before the
τειχῶν αὐτῆς πηξάμενος χάρακα, τοὺς στρατηγοὺς καὶ
walls of-it having-fixed a-palisade the generals and
λοχαγοὺς συναγηοχώς, ἐν περιωπῇ τε κατὰ τὸ ὕπαιθρον
captains having-gathered on a-lookout and in the open
στάς, ἔλεξε ταῦτα· “τὰ μὲν ἐπέκεινα ταύτης ἀνῳκισμένα
standing spoke these-things the indeed beyond this settled
τῆς πόλεως φρούρια τῇ τῆς προνοίας ῥοπῇ καὶ τῇ
of-the city forts by-the of-the providence force and by-the
σφῶν ἐμπειρίᾳ μετὰ τῆς προσούσης ἀνδρείας εἴλομεν, ὡς
our experience with the present bravery we-took as
ἴστε, συστρατιῶται, παρὰ πᾶσαν ὑπόνοιαν. καὶ χάριν
you-know fellow-soldiers beyond all expectation and gratitude

ὁμολογῶ πλείστην ὑμῖν, ὅτι πρὸς ἐμὲ τὸν ὑμῶν ἀφορῶντες
I-confess very-much to-you that to me the your looking
ἡγεμόνα, οὐκ ὠκλάσατε περί τε τῶν ἀηδῶν, ἃ
leader not you-sank-down about both the unpleasant(-things) which
πλεῖστα καὶ ἀπηχῆ ἐπιφέρειν οἶδεν ὁ πόλεμος, ἀλλ᾽ οὕτω
very-many and harsh to-bring knows-how the war but so
μετὰ προθυμίας καὶ λελογισμένης ῥώμης διηγωνίσασθε,
with zeal and reasoned strength you-fought-it-out
ὥστε μηδέν, οἷς προσεβάλομεν τῶν φρουρίων, ὑπέρτερον
that nothing to-which we-attacked of-the forts superior
γενέσθαι τῆς ὑμῶν ἀρετῆς, καὶ καταλειφθῆναι ἀνάλωτον.
to-become than-the your valor and to-be-left untaken
οἶδα δὲ καὶ τὸ πρὸς τὴν κατασκαφὴν ταυτησὶ τῆς πόλεως
I-know and also the for the razing of-this-here the city
πρόθυμον ὑμῶν, ὅπως ὀργᾶτε καὶ σφαδάζετε ἡ στρατιά,
eagerness your how you-swell and quiver the army
ταύτην κατεριπώσειν καὶ δηώσειν πυρί. ἀλλ᾽ οἰκτός
it to-throw-down and to-ravage with-fire but pity
μέ τις ὑπεισέρχεται ταύτης, εἰ τρίτη τῶν περὶ τὴν
me a-certain creeps-into of-it if third of-the about the
οἰκουμένην τελοῦσα πόλεων, τῷ τε κάλλει καὶ τῷ μεγέθει
inhabited-world being of-cities in-the both beauty and in-the size
τῶν περιβόλων (ὁρᾶτε γὰρ εἰς ὅσον ὕψος ἐπανατείνονται
of-the circuit-walls you-see for to how-great height rise
οὗτοι), ἔτι δὲ πλήθει τοῦ δήμου καὶ τῶν οἰκιῶν
these further and in-multitude of-the people and of-the houses
ἀμηχάνοις κατασκευαῖς, ἐρείπιον κείσεται, καθά τι φρούριον
extraordinary in-structures ruin will-lie like some fort
πενιχρόν. τὸ δὲ τὴν Ῥωμαϊκὴν στρατιὰν κατὰ τὴν ταύτης
poor the and the Roman army in the its
κατατρίβειν ἐκπόρθησιν, καὶ τὰ ὑμῖν ὑποποιηθέντα τῷ
sacking to-wear-out and the by-you subdued by-the

πολεμεῖν αὖθις διαφθείρειν τε καὶ λεηλατεῖν, οὔ μοι νοῦν
fighting again to-destroy both and to-plunder not to-me sense
ἔχειν δοκεῖ. ἐγὼ γὰρ ἐκεῖνον μάλιστα φαίην κηδεμονικὸν
to-have seems I for that-one most would-say provident
στρατηγόν, τὸν ταῖς ἐπεξελάσεσι καὶ διαμελλήσεσι τὴν
general the(-one) by-the raids and delays the
τῶν ἐναντίων κακοῦντα χώραν καὶ διαφθείροντα· τὸν δέ
of-the opponents ravaging land and destroying the(-one) but
γε τὴν οἰκείαν ταῖς τῆς στρατιᾶς ἐκδρομαῖς καὶ αὖθις
at-least the own by-the of-the army sallies and again
κατὰ χώραν ἀναστροφαῖς παραπολλύοντα καὶ ἐκτρίβοντα,
in place returns ruining and wearing-out
τοῦτον ἀνόητον, μᾶλλον δὲ κακονούστατον ὀνομάζειν
this-one senseless rather and most-ill-minded to-name
οὐκ ἂν ἀποκνήσαιμι· παρόμοιόν τι διεργαζόμενον
not — I-would-shrink similar something doing
τῶν τῇ παροιμίᾳ κωμῳδουμένων κυνῶν, οἳ τοὺς
to-the(-ones) in-the proverb mocked dogs who the
λύκους τῶν προβάτων ἀποσοβεῖν ἐποφείλοντες, καὶ τὰ
wolves from-the sheep to-scare-off being-bound and the
βοσκήματα φυλάττειν ἀνεπιβούλευτον, οἵ δέ, πρὸς τῷ μὴ
cattle to-guard unplotted-against they but besides the not
ἀποσοβεῖν, μᾶλλον τῶν θηρίων αὐτοὶ διακόπτουσι καὶ
to-scare-off rather than-the beasts themselves cut-up and
διασπαράττουσιν. εἰ οὖν δοκεῖ καὶ πείθεσθέ μοι, ἐπείπερ
tear-apart if then it-seems-good and you-obey me since
ὁ λόφος ὀχυρώτατος οὑτοσὶ καταφαίνεται, καὶ κατάῤῥυτός
the hill most-strong this-here appears and well-watered
ἐστιν ὕδασιν, ὡς ὁρᾶτε, τοῦτον δὴ τειχιστέον ἐξαυτῆς,
is with-waters as you-see this indeed must-be-walled forthwith
καὶ ἴλην ἱππέων καὶ σπεῖραν πεζῶν ἐν αὐτῷ ἐατέον·
and squadron of-horsemen and company of-foot in it must-be-left

ὥστε καθ᾽ ἑκάστην ἐπεξελάσεσι καὶ καταδρομαῖς, καὶ
so-that by each(-day) with-raids and incursions and
τῶν ἐπιτηδείων διαρπαγαῖς τὴν Ἀντιόχου ταπεινώσωσι,
of-the provisions plunderings the(-city) of-Antiochos they-may-humble
καὶ εἰς ἀμηχανίαν δεινὴν κατακλείσαντες καὶ ἄκουσαν
and into helplessness terrible having-shut-in also unwilling
ἀναγκάσωσι, Ῥωμαίοις γενέσθαι ὑπόσπονδον.” εἶπεν ὁ
may-compel to-Romans to-become subject-by-treaty spoke the
βασιλεύς, καὶ λίθον ἐπωμισάμενος (ἦν γὰρ περὶ τὰ
emperor and a-stone having-shouldered he-was for about the
τοιαῦτα μετριοπαθής τε καὶ ταπεινός), ἄνεισι ἐπὶ τὸν
such(-things) moderate both and humble goes-up to the
λόφον, πάσῃ τῇ στρατιᾷ οὕτω ποιεῖν διακελευσάμενος.
hill to-all the army so to-do having-ordered
ἦν οὖν ἰδεῖν ἐν τρισὶν ἡμέραις ἄστυ ἀνῳκισμένον ἐπὶ τὸν
it-was then to-see in three days a-town built on the
λόφον, εὐερκές τε καὶ ὀχυρώτατον. φάλαγγα τοιγαροῦν
hill well-fenced both and most-strong a-phalanx therefore
πεντακοσίων ἱππέων, καὶ σπεῖραν χιλίων πεζῶν ἐν
of-five-hundred horsemen and company of-a-thousand foot in
τῷ φρουρίῳ καταλιπών, καὶ ἀποχρῶσαν χιλὸν αὐτοῖς
the fort having-left and sufficient fodder to-them
ἀποσιτισάμενος, ἐντειλάμενός τε ὁσημέραι ἐκδρομὰς κατὰ
having-provisioned having-enjoined and daily sallies against
τῆς Ἀντιοχείας ποιεῖν, καὶ τὸ παρατυχὸν μαχαίρας ἔργον
— Antioch to-make and the coming-in-the-way of-sword work
καὶ προνομῆς ἀπεργάζεσθαι, αὐτὸς ἐκεῖθεν ἀπάρας πρὸς
and of-foraging to-perform he-himself from-there having-set-out to
τὴν βασιλεύουσαν ἐπανέζευξε, καὶ μεγαλοπρεπῶς πρὸς
the reigning(-city) returned and magnificently by
τῶν ἀστικῶν ὑποδεχθεὶς ἐκεῖσε διέτριβεν.
the townsmen received there stayed

XII · SPHENDOSTHLAVOS INVADES MYSIA

Nikephoros sends the ruler of the Carthaginians the sword of Mohammed with a threat of war, and the ruler, fearing his fame, frees the patrikios Niketas and the Roman captives. Kalokyres meanwhile persuades Sphendosthlavos, prince of the Rus, to conquer Mysia and help him to the throne; with sixty thousand men the Rus land from the Ister, rout the Mysians, and shut them in Dorystolon, and the Mysian ruler Peter dies of a seizure. Nikephoros arms, stretches a chain across the Bosporus, and sends envoys to the Mysians to ask brides for Romanos' sons. Leo reflects that fortune reverses the affairs of the most successful, as it was about to do to Nikephoros.

1 Ἀλλ' οὕτω μέν, ἥπέρ μοι ἤδη ἐῤῥήθη, ὁ αὐτοκράτωρ
but so indeed as by-me already was-said the emperor
Νικηφόρος Συρίαν καὶ τὰ παράκτια ταύτης καταδραμών,
Nikephoros Syria and the coastal(-parts) of-it having-overrun
καὶ τὸ ἀντίξουν ἅπαν ἐκποδὼν ποιησάμενος, καὶ λείαν
and the opposing all out-of-the-way having-made and booty
Μυσῶν θέμενος, καὶ πλεῖστα πτολίσματα καθελών, κἂν
of-Mysians having-made and very-many towns having-taken-down and-in
τοῖς ἐπικαιροτάτοις τῆς μεγάλης Ἀντιοχείας φρούριον
the most-advantageous(-parts) of-the great Antioch fort
ἐρυμνὸν δομησάμενος ἐν τρισὶν ἡμέραις καὶ πολίσας,
strong having-built in three days and having-founded
ἐς τὸ Βυζάντιον ἐπανέζευξεν. Ἐντεῦθεν παρὰ τὸν τῶν
to — Byzantium returned thereupon to the of-the
Καρχηδονίων ἀγὸν διεκηρυκεύετο, καὶ τὸ τοῦ ἐναγεστάτου
Carthaginians leader he-sent-heralds and the of-the most-accursed
καὶ ἀσεβεστάτου Μωάμεδ ξίφος δῶρον ἐξέπεμπεν,
and most-impious Mohammed sword as-a-gift sent

ὅπερ λάφυρον ἔκ τινος τῶν κατὰ Παλαιστίνην ἁλόντων
which as-spoil from one of-the in Palestine captured
φρουρίων ἀνείληφε, καὶ τὸν Πατρίκιον ἐξήτει Νικήταν, ὃν
forts he-had-taken and the Patrikios demanded Niketas whom
συνέβη τὸ πρότερον ἐν τῷ περὶ Σικελίαν τῶν Ῥωμαίων
it-happened the before in the about Sicily of-the Romans
πταίσματι δορυάλωτον ληφθέντα, τῷ τοιούτῳ τῶν Ἄφρων
disaster spear-captured taken to-the such of-the Africans
παραπεμφθῆναι κατάρχοντι, ὡς ὁ λόγος ἐδήλωσε. διὰ
to-have-been-sent ruler as the account showed through
γραμμάτων οὖν ἐπέσκηπτεν, ὡς, εἰ ἐνδοιάσῃ πρὸς τὴν τοῦ
letters then he-enjoined that if he-should-hesitate about the of-the
Πατρικίου ἀπόδοσιν, καὶ οὐκ ἐξαυτῆς τοῦτον ἀνήσοι τε
Patrikios restoration and not forthwith him should-release both
τῶν δεσμῶν, καὶ ὡς αὐτὸν παραπέμψῃ, πόλεμον ἀκήρυκτον
from-the bonds and to him should-send war truceless
ἤτω προσδοκῶν, καὶ πᾶσαν τὴν αὐτοῦ ἐπικράτειαν
let-him-be expecting and all the his dominion
ἀνεκτριβῆναι, τοῖς Ῥωμαϊκοῖς δηϊουμένην στρατεύμασι. ταῖς
to-be-wiped-out by-the Roman being-ravaged armies by-the
τοιαύταις οὖν ὁ Καρχηδόνιος ἐκδειματωθεὶς ἀγγελίαις, ὡς
such then the Carthaginian terrified messages as
ἄλλαις τισί, κατὰ τὴν παροιμίαν, ἀπὸ Σκυθῶν ῥήσεσι,
by-other certain according-to the proverb from Scythians speeches
τόν τε Πατρίκιον Νικήταν καὶ τοὺς σὺν αὐτῷ ληφθέντας
the both Patrikios Niketas and those with him taken
δορυαλώτους, καὶ ὅσους Ῥωμαίων ἐκ διαφόρων χώρων
spear-captured and as-many-as of-Romans from various lands
ἐν εἱρκταῖς πεδήτας παρακατεῖχε, δῶρον τῷ βασιλεῖ
in prisons fettered he-held-back as-a-gift to-the emperor
Νικηφόρῳ ἐξέπεμπε· δέος γὰρ αὐτὸν ὑπεισῄει, ἐκστρατείαν
Nikephoros sent fear for him crept-into campaign

καὶ ἔκπλουν τούτου ἐνωτισάμενον. τὸ γὰρ ἀκαταγώνιστον
and sailing his having-heard the for invincibility
τοῦ ἀνδρός, κἂν ταῖς μάχαις ἀνυπόστατον καὶ ἀπρόσιτον,
of-the man even-in the battles irresistible and unapproachable
καὶ ὅπως εὐπετῶς τὸ ἀντίπαλον ἅπαν ὡς ἔκ τινος
and how easily the opposing all as from some
θείας ῥοπῆς εὐείκτως κατεστρέφετο, ἔφριττόν τε πάντα
divine inclination readily was-subdued dreaded both all
ἔθνη καὶ ἐτεθήπεσαν, καὶ οὐ πολέμιον ἔχειν, ἀλλὰ φίλον
nations and were-astounded and not enemy to-have but friend
καὶ δεσπότην ἠπείγοντο. οὕτω μὲν δὴ ὁ Πατρίκιος
and master they-hastened thus indeed truly the Patrikios
Νικήτας καὶ οἱ λοιποὶ τῶν Ῥωμαίων αἰχμάλωτοι τῶν
Niketas and the rest of-the Romans captives from-the
δεσμῶν ῥυσθέντες καὶ τῆς εἱρκτῆς, πρὸς τὸ Βυζάντιον
bonds rescued and from-the prison to — Byzantium
ἐπανήεσαν. ὁ δὲ βασιλεὺς Νικηφόρος ἥσθη τε, ὡς τὸ
returned the and emperor Nikephoros was-pleased both as the
εἰκός, καὶ ἡμέραν ἦγεν ἑόρτιον, καὶ τὰς εὐχαριστηρίους τῷ
likely and day kept festal and the thanksgiving —
Θεῷ ἐπὶ τῇ τῶν ὁμοφύλων ἀπολυτρώσει ἀπεδίδου εὐχάς.
to-God for the of-the kinsmen ransoming rendered prayers
ἐν ᾧ δὲ ταῦτα κατά τε τὴν Συρίαν καὶ τὸ Βυζάντιον
in which and these-things in both — Syria and — Byzantium
τῷ βασιλεῖ διεπράττετο, ὁ πρὸς τοὺς Ταυροσκύθας
by-the emperor were-being-done the to the Tauroscythians
σταλεὶς βασιλικῷ νεύματι Καλοκύρης ὁ Πατρίκιος, κατὰ
sent by-imperial nod Kalokyres the Patrikios in
τὴν Σκυθίαν γενόμενος, καὶ τῷ τῶν Ταύρων κατάρχοντι
— Scythia having-been and with-the of-the Taurians ruler
φιλιωθείς, δώροις τε τοῦτον διαφθείρας καὶ λόγοις
having-made-friends with-gifts both him having-corrupted and with-words

καταγοητεύσας ἐπαγωγοῖς (φιλοκερδὲς δὲ ἅπαν ἐκτόπως
having-bewitched seductive gain-loving and all extraordinarily
τὸ Σκυθικόν, καὶ λίχνον ὅτι μάλιστα, καὶ ἐπιῤῥεπὲς πρὸς
the Scythian(-race) and greedy as most and inclined to
λημμάτων ὑπόσχεσιν καὶ ἀνάληψιν) ἐνέπεισε στρατιὰν
of-gains promise and receiving persuaded army
συναγηοχότα βαρεῖαν, ἐλαύνειν κατὰ Μυσῶν· τούτους
having-gathered heavy to-drive against Mysians them
δὲ καταγωνισάμενον ὑποποιήσασθαι μὲν τὴν χώραν καὶ
and having-overcome to-subdue indeed the land and
ταύτην παρακατέχειν εἰς ἴδιον ἐνδιαίτημα· αὑτῷ δὲ κατὰ
it to-hold for own dwelling for-himself and against
Ῥωμαίων συνάρασθαι, ὅπως κατάσχοι τὴν βασιλείαν, καὶ
Romans to-help so-that he-might-seize the empire and
τῆς Ῥωμαϊκῆς ἡγεμονίας ἐπιτεύξοιτο. μεγάλας δὲ καὶ
of-the Roman rule might-obtain great and also
ἀνεκδιηγήτους τὰς ὠφελείας αὐτῷ πράξειν καθυπισχνεῖτο,
indescribable the benefits for-him to-procure he-promised
ἐκ τῶν βασιλικῶν ταμείων συνεκφορήσαντα.
from the imperial treasuries having-carried-out
Τούτων τῶν λόγων ὁ Σφενδοσλάβος ἀκουτισθεὶς (τοῦτο 2
these the words — Sphendosthlavos having-heard this
γὰρ πρὸς τῶν Ταύρων κατωνομάζετο) οὐχ οἷός τε ἦν
for by the Taurians he-was-named not able — he-was
ἐπισχεῖν τὴν ὁρμήν· ἀλλά, μετέωρος ταῖς ἐλπίσι τοῦ
to-check the rush but elated by-the hopes of-the
πλούτου γενόμενος, ὀνειροπολῶν τε τὴν τῆς χώρας
wealth having-become dreaming-of both the of-the land
κατάσχεσιν τῶν Μυσῶν, καὶ ἄλλως δὲ θερμουργός τε ὢν
possession of-the Mysians and otherwise too hot-headed both being
καὶ θρασύς, ἄλκιμός τε καὶ ῥέκτης ἀνήρ, πᾶσαν ἡβηδὸν
and bold valiant both and active a-man all to-a-man

ἡλικίαν τῶν Ταύρων πρὸς τὴν ἐκστρατείαν κατήπειγεν.
age of-the Taurians to the campaign he-urged
ἑξήκοντα τοιγαροῦν χιλιαδῶν ἀκμαίων ἀνδρῶν στρατιὰν
of-sixty therefore thousands of-vigorous men army
συναγείρας, ἐκτὸς τοῦ θητικοῦ, ἅμα τῷ Πατρικίῳ
having-gathered besides the hired(-men) together-with the Patrikios
Καλοκύρῃ, ὃν καὶ ὁμαίμονα προσήκατο φιλίας θεσμοῖς,
Kalokyres whom also brother he-adopted of-friendship by-laws
ἐχώρει κατὰ Μυσῶν. ἄρτι δὲ παραπλέοντος τὸν Ἴστρον,
he-went against Mysians just and sailing-along the Ister
καὶ πρὸς τὴν ἐπὶ τῆς ἠπείρου ἀπόβασιν ἐπειγομένου,
and to the onto the mainland landing hastening
αἰσθόμενοι τὸ δρώμενον οἱ Μυσοί, εἰς τρισμυρίων ἀνδρῶν
having-perceived the being-done the Mysians into of-thirty-thousand men
συναγομένην φάλαγγα συνασπίσαντες ὑπηντίαζον. ἀλλ᾽
being-gathered phalanx having-locked-shields went-to-meet but
ἐῤῥωμενέστατα τῶν πορθμείων ἀποβάντες οἱ Ταῦροι,
most-vigorously from-the boats having-disembarked the Taurians
τά τε σάκη προβαλόντες, καὶ τὰ ξίφη σπασάμενοι,
the both shields having-put-forward and the swords having-drawn
ἐπιστροφάδην ἔπληττον τοὺς Μυσούς. οἱ δέ, μηδὲ τὴν
turning-about struck the Mysians they and not-even the
πρώτην ῥοπὴν ἐνεγκόντες, εἰς φυγαδείαν ἐτράποντο καὶ
first force having-borne into flight turned and
πρὸς τὸ Δορύστολον (ἐχυρὸν δὲ φρούριον τοῦτο Μυσῶν)
to — Dorystolon strong and fort this of-Mysians
ἀγεννῶς συνεκλείοντο. τηνικαῦτα δὴ λέγεται καὶ Πέτρον,
ignobly shut-themselves-in then indeed it-is-said also Peter
τὸν ἡγήτορα τῶν Μυσῶν, ἄνδρα θεοφιλῆ καὶ σεβάσμιον,
the leader of-the Mysians a-man God-loving and reverend
τῷ ἀπροσδοκήτῳ τῆς τροπῆς περιαλγήσαντα, ἐπιληψίας
at-the unexpectedness of-the rout having-grieved-sorely of-epilepsy

πάθος περιπεσεῖν, καὶ ὀλίγον ἐπιβιώσαντα, τῶν τῇδε
affliction to-have-fallen-into and little having-survived from-the here(-things)
ὑπαπελθεῖν. ἀλλὰ ταῦτα μὲν κατὰ τὴν Μυσίαν ἐπράττετο
to-have-departed but these-things indeed in — Mysia were-done
ὕστερον· ὁ δὲ τῶν Ῥωμαίων αὐτοκράτωρ Νικηφόρος,
later the and of-the Romans emperor Nikephoros
τὰ περὶ τῶν Ταύρων διαγνούς, καὶ ἄλλως δὲ παρὰ
the(-things) about the Taurians having-learned and otherwise too through
πᾶσαν αὑτοῦ τὴν βιοτὴν μεμεριμνημένος τις ὤν, καὶ
all his-own the life thoughtful a-certain being and
ἐγρηγορώς, καὶ μὴ νευστάζων, μηδέ τισιν ἡδοναῖς ὅλως
wakeful and not nodding nor to-any pleasures wholly
δουλούμενος (οὐδὲ γὰρ ἔχοι τις λέγειν, ὡς ἴδοι τοῦτον
enslaved nor for could anyone say that he-saw him
κωμάσαντα κἂν ἐν νεότητι), τότε παντοδαπός τις
reveling even in youth then of-every-sort a-certain
ἦν, καὶ τὴν πεζικὴν στρατιὰν ἐξήρτυε, καὶ τοὺς λόχους
he-was and the foot army equipped and the companies
καθώπλιζε, καὶ τὴν ἱππικὴν φάλαγγα ἐς βάθος διέταττε,
armed and the horse phalanx to depth drew-up
καὶ πανσιδήρους ἱππότας ἀπέφαινε. τάς τε μηχανὰς τὰς
and all-iron horsemen made the both engines the
ἐφετηρίους τεκταινόμενος ἐπὶ τῶν τῆς πόλεως πυργωμάτων
launching building on the of-the city towers
καθίδρυε, καὶ σειρὰν βαρυτάλαντον ἐκ σιδήρου πεποιημένην
set and chain heavy-weighted from iron made
ἐπὶ τὸν πύργον ἐνδησάμενος, ὃν Κεντηνάριον κικλήσκειν
to the tower having-bound which Kentenarion to-call
εἰώθασιν, ἐπὶ φιτρῶν τε μεγίστων ἐφαρμοσάμενος, κατὰ
they-are-wont on logs both greatest having-fitted across
τὸν Βόσπορον ἔτεινε, καὶ πρὸς τὸ τοῦ καταντιπέρας
the Bosporus he-stretched and to the of-the opposite

Καστελλίου πύργωμα ἀνῆψε. δραστήριος δὲ ὤν, καὶ
Kastellion tower he-fastened energetic and being and
βαθυγνώμων, εἰ καί τις ἄλλος, ὧν ἴσμεν, ἀνήρ,
profound-minded if even anyone else of-whom we-know a-man
ἀξύμφορον εἶναί οἱ διελογίζετο, εἰ πρὸς ἀμφότερα τὰ ἔθνη
unprofitable to-be for-him he-reckoned if against both the nations
τὴν διαμάχην ἄροιτο. ξυνοῖσον οὖν ἐδόκει εἶναι αὐτῷ,
the fight he-should-take-up advantageous then it-seemed to-be to-him
εἰ τὸ ἓν ὑποποιήσῃ τῶν ἐθνῶν. οὕτω γὰρ ἐδόκει ῥᾷστα
if the one he-should-win-over of-the nations so for it-seemed most-easily
περιέσεσθαι τοῦ ἑνός, καὶ αὐτὸ θᾶττον καταγωνίσασθαι.
he-would-prevail-over the one and it quicker to-overcome
3 Ἐντεῦθεν, ἐπεὶ τὸ παρὰ τῶν Ταύρων ἀπεγνώκει
thereupon since the from the Taurians he-had-despaired
διακηρυκεύεσθαι (ᾔδει γὰρ τὸν Πατρίκιον Καλοκύρην
to-negotiate he-knew for the Patrikios Kalokyres
ἅπαξ τῆς εὐθείας ἐκκλίναντα καὶ τῆς τούτου
once from-the straight having-turned-aside and from-the his
κυρίας ἀφηνιάσαντα, καὶ μέγα παρὰ τῷ Σφενδοσλάβῳ
authority having-rebelled and greatly with — Sphendosthlavos
δυνηθέντα, μὴ εὐείκτως τῷ τούτου θελήματι
having-become-powerful not readily by-the his will
σπείσασθαι), πρὸς τοὺς ὁμοθρήσκους Μυσοὺς ἐβουλεύσατο
to-make-terms to the co-religionist Mysians he-planned
μᾶλλον πρεσβείαν στείλασθαι. καὶ δῆτα πρέσβεις ὡς αὐτοὺς
rather embassy to-send and indeed envoys to them
ἔστελλε, τόν τε Πατρίκιον Νικηφόρον, ᾧ τὸ ἐπώνυμον
he-sent the both Patrikios Nikephoros to-whom the surname
Ἐρωτικός, καὶ Φιλόθεον, τὸν τῶν Εὐχαΐτων πρόεδρον, καὶ
Erotikos and Philotheos the — of-Euchaita proedros and
τῆς τε θρησκείας αὐτοὺς ὑπεμίμνησκε (τὰ Χριστιανῶν
of-the both religion them he-reminded the(-faith) of-Christians

γὰρ ἀναντιῤῥήτως πρεσβεύουσιν οἱ Μυσοί), καὶ παρθένους
for indisputably hold-in-honor the Mysians and maidens
τοῦ βασιλικοῦ γένους ἐξῄτει, ὡς συνάψῃ ταύτας
of-the royal family he-demanded so-that he-might-join them
τοῖς τοῦ αὐτοκράτορος Ῥωμανοῦ παισί, καὶ ἀδιάῤῥηκτος
to-the of-the emperor Romanos sons and unbreakable
ἐκ τοῦ κήδους ἥ τε πρὸς Ῥωμαίους καὶ τοὺς
from the marriage-alliance the both toward Romans and the
Μυσοὺς καταλλαγὴ καὶ φιλία ἐμπεδωθῇ. οἱ δὲ Μυσοὶ
Mysians reconciliation and friendship might-be-confirmed the and Mysians
ἄσμενοι τὴν πρεσβείαν ἐδέχοντο, καὶ κόρας ἐξ αἵματος
gladly the embassy received and girls from blood
τοῦ βασιλικοῦ ἐπὶ ἁμαξῶν ἀναβιβάσαντες (εἰθισμένον δὲ
of-the royal on wagons having-put-up customary and
γυναιξὶ Μυσῶν, ἐφ' ἁμαξῶν ὀχεῖσθαι), τῷ αὐτοκράτορι
for-women of-Mysians on wagons to-ride to-the emperor
Νικηφόρῳ ἐξέπεμπον, ἀπαμῦναι σφίσιν ὅτι τάχιστα
Nikephoros they-sent to-defend them as quickly-as-possible
ποτνιώμενοι, καὶ τὸν τοῖς αὐχέσιν αὐτῶν ἐπικείμενον
imploring and the on-the necks their lying
πέλεκυν τῶν Ταύρων ἀποτρέψαι καὶ κενὸν ἀπεργάσασθαι.
axe of-the Taurians to-turn-away and empty to-make
καὶ κἂν ἐπήμυνε τούτοις, καὶ τρόπαια κατὰ τῶν
and even he-would-have-defended them and trophies against the
Ταύρων ἐστήσατο, ἐπεὶ καὶ κατὰ πάντων, πρὸς οὓς
Taurians would-have-set-up since also against all against whom
ἂν τὴν Ῥωμαϊκὴν ἀντεπήνεγκε δύναμιν. ἀλλ' ἀπὸ μικρᾶς
— the Roman he-brought-against force but from small
ῥοπῆς αἰωρούμενα τὰ ἀνθρώπινα, καὶ ὡς ἔκ τινος
inclination suspended the human(-things) and as from some
εἰπεῖν λεπτῆς κρόκης ἐκκρεμαννύμενα, καὶ εἰς τὸ ἐναντίον
to-say fine thread hanging-down also into the opposite

εἴωθε περιχωρεῖν. ἀνεπισφαλῶς γάρ τινες οἴονται νέμεσίν
are-wont to-turn unerringly for some think nemesis
τινα θείαν καὶ φθόνον ἀνθρώπινον τοῖς ἐπισήμοις καὶ
a-certain divine and envy human to-the distinguished and
ἀλκιμωτάτοις ἀνδράσι προσίστασθαι, σφάλλοντα τούτους,
most-valiant men to-beset tripping them
καὶ περιτρέποντα, καὶ εἰς τὸ μηδὲν συνελαύνοντα. οἷα
and overturning and into the nothing driving such-as
δὴ καὶ τότε τῷ αὐτοκράτορι Νικηφόρῳ, κατὰ ῥοῦν αὐτῷ
indeed also then to-the emperor Nikephoros with stream for-him
φερομένων τῶν πραγμάτων, καὶ ὡς οὐκ ἄλλῳ τῶν πρὸ
being-borne the affairs and as not to-another of-those before
αὐτοῦ ἡγεμονευσάντων, συμβέβηκεν. ἐγὼ δὲ τοῦτό φημι, ὅτι
him having-ruled happened I and this I-say that
ἀμηχάνῳ τοῦ κρείττονος προμηθείᾳ ἤδη τοῖς ἀνθρώποις
by-unfathomable of-the stronger providence already for-the men
εὐροοῦντα τὰ πράγματα εἰς τοὐναντίον ἀντιπεριΐσταται,
flowing-well the affairs into the-opposite are-turned-round
ὡς ταύτῃ παιδευθεῖεν θνητοὶ ὄντες καὶ πρόσκαιροι, καὶ
so-that thus might-be-taught mortal being and temporary and
μὴ περαιτέρω φυσῷεν τοῦ προσήκοντος. ἤδη γάρ τινες
not further should-puff-up than-the fitting already for some
εὐπραγίαις ἐπιβάντες καὶ κατὰ τὰς μάχας εὐδοκιμήσαντες,
on-successes having-mounted and in the battles having-won-fame
θεοὺς ἀνειπεῖν αὑτοὺς οὐκ ἐνάρκησαν, εἰς αὐτὴν τὴν
gods to-proclaim themselves not shrank against very the
πρόνοιαν ἐξυβρίσαντες. παράδειγμα τούτων οἱ τοῦ Ἀλωέως
providence having-been-insolent example of-these the — of-Aloeus
παῖδες Ὦτος καὶ Ἐφιάλτης, εἰς οὐρανοὺς κατὰ τὸν
sons Otos and Ephialtes into heavens according-to the
μῦθον πειρώμενοι ἀνελθεῖν, καὶ Ναβουχοδονόσορ ὁ
myth trying to-go-up and Nebuchadnezzar the

Βαβυλώνιος, εἰκόνα στησάμενος ἑαυτοῦ, καὶ ὁ Φιλίππου
Babylonian image having-set-up of-himself and the of-Philip
Ἀλέξανδρος, Ἄμμωνος υἱὸς ἀξιῶν ὀνομάζεσθαι. εἰκότως
Alexander of-Ammon son thinking-fit to-be-named fittingly
οὖν τρεπτὰ καὶ παλίντροπα καθέστηκε τοῖς ἀνθρώποις
then changeable and turning-back has-become for-the men
τὰ πράγματα, οἷα δὴ καὶ τότε Ῥωμαίοις συνέβαινεν,
the affairs such-as indeed also then to-Romans happened
ἀποβαλοῦσι μετὰ μικρὸν ἡγεμόνα τὸν ἑαυτῶν, οἷον οὐκ
having-lost after little leader the their-own such-as not
ἔσχεν ἄλλον ἡ Ῥωμαϊκὴ δυναστεία τὸ πρότερον. εἰ γὰρ
had another the Roman power the before if for
μὴ τῇ τούτου ἀναιρέσει εἰς τὸ ἔμπαλιν ἡ τύχη τούτοις
not by-the his slaying into the reverse the fortune for-them
ἀπέτρεχεν, οὐδὲν ἐνέδει, ἐπιβιοῦντος ἐκείνου, μὴ τὰ
ran-off nothing was-lacking surviving him not the
ὅρια πήξασθαι τῆς σφῶν ἐπικρατείας πρὸς ἀνίσχοντα
boundaries to-fix of-the their dominion toward rising
ἥλιον κατὰ τὴν Ἰνδικήν, καὶ αὖθις ἐπὶ δυόμενον πρὸς
sun in the India and again to setting to
αὐτὰ τῆς οἰκουμένης τὰ τέρματα. ἀλλὰ γὰρ ἐπανακτέον
very of-the inhabited-world the bounds but for must-be-brought-back
τὸν λόγον, ὅθεν ἀπέκλινε τοῦ εἱρμοῦ.
the account whence it-turned-aside of-the sequence

The garrison Nikephoros left harries Antioch into want, and Michael Burtzes, sent by the stratopedarch Peter, scales the wall by night with ladders, cuts down the sleeping guards, and fires the town; at dawn Peter rides in and the Antiochenes surrender. A hermit hands Nikephoros a note foretelling his death in the third month after September, and from then on he sleeps on a leopard skin on the floor. His father the Caesar Bardas dies at over ninety. Theophano persuades him to recall John Tzimiskes, who visits her by secret entrances and with picked men plots the emperor's murder. On 10 December a cleric's note warns the emperor, but the chamberlain leaves the conspirators' room unsearched.

4 Οἱ μὲν δὴ Μυσοὶ χεῖρας ἱκέτιδας ἐφήπλουν, ἐπαμῦναι
the indeed truly Mysians hands suppliant spread-out to-help
σφίσι δυσωποῦντες τὸν αὐτοκράτορα. ἐν ᾧ δὲ πρὸς
them imploring the emperor in which and for
τὴν ἐκστρατείαν διεσκευάζετο, ἡ τῆς μεγάλης Ἀντιοχείας
the campaign he-was-preparing the of-the great Antioch
ἅλωσις ἐπηγγέλλετο, ἄρτι κατὰ τὰς ἐκείνου ὑποθήκας
capture was-announced just according-to the his instructions
ἁλοῦσα, ἃς δὴ τοῖς καταλειφθεῖσι πρὸς αὐτοῦ εἰς τὸ
taken which indeed to-the left by him for the
ταύτην λεηλατεῖν στρατιώταις ἐπέσκηπτε. λέγεται γάρ, ὡς,
it to-plunder soldiers he-enjoined it-is-said for that
ἐπείπερ ταῖς καθ' ἡμέραν καταδρομαῖς εἰς ἀμηχανίαν καὶ
since by-the per day raids into helplessness and
σπάνιν τῶν ἀναγκαίων ἐσχάτην συνηλαύνετο, τὸν Πατρίκιον
lack of-the necessities uttermost it-was-driven the Patrikios
Πέτρον καὶ στρατοπεδάρχην, τομίαν μὲν ὄντα, ῥέκτην
Peter and stratopedarch eunuch indeed being active
δὲ τὴν ἄλλως καὶ ῥωμαλεώτατον, κατατρέχοντα Συρίαν,
but — otherwise and most-strong overrunning Syria

ἐκεῖσε μετὰ τῆς δυνάμεως ἀφικέσθαι, καὶ Μιχαὴλ ἐκεῖνον,
there with the force to-have-come and Michael that-one
ἐν ταξιάρχοις τελοῦντα, ᾧ Βούρτζης ἐπώνυμον, ἐπὶ
among taxiarchs being to-whom Burtzes surname on
κατασκοπὴν ἐκπέμψαι τῆς πόλεως. τὸν δὲ μετὰ καὶ
reconnaissance to-have-sent of-the city him and with also
ἄλλων λογάδων ἀγχοῦ ταύτης γενόμενον, τὸν ἐπίβατον
other picked(-men) near it having-been the scalable(-part)
τοῦ τείχους περισκοπῆσαι, καὶ ὀπισθόρμητον ἀπαλλαγῆναι
of-the wall to-have-surveyed and back-rushing to-have-gone-off
πρὸς τὸ στρατόπεδον, κλίμακάς τε ἀναλόγους τῷ ὕψει
to the camp ladders both proportionate to-the height
τῶν πύργων τεκτήνασθαι· κἂν τοῖς ἀχθοφόροις ζώοις
of-the towers to-have-built and-on the burden-bearing animals
ταύτας ἐπιφορτίσασθαι, καὶ μετὰ λεγεῶνος γενναιοτάτων
these to-have-loaded and with a-legion of-most-noble
στρατιωτῶν ἤδη μέσων νυκτῶν τὸν τῆς Ἀντιοχείας
soldiers already of-mid nights the — of-Antioch
περίβολον αὖθις καταλαβεῖν, ἤρεμά τε ταύτας προσερεῖσαι
circuit-wall again to-have-reached gently both these to-set-against
τῷ τείχει καὶ ἀνιέναι διὰ τῶν κλιμάκων· τοὺς δὲ φύλακας
the wall and to-go-up by the ladders the and guards
τῶν Ἀγαρηνῶν, βαθεῖ τῷ ὕπνῳ καθεύδοντας, τοῖς ξίφεσι
of-the Hagarenes in-deep the sleep sleeping with-the swords
διαχρήσασθαι. ἐγκρατεῖς δὲ τῶν τειχῶν τὸν τρόπον τοῦτον
to-have-dispatched masters and of-the walls the way this
Ῥωμαίους γεγενημένους καταβῆναί τε τῶν πύργων,
Romans having-become to-have-gone-down both from-the towers
καὶ τετραχῶς τὸ ἄστυ πυρπολεῖν· Ἀντιοχεῖς δέ, τῷ
and in-four-places the town to-burn Antiochenes and by-the
ἀπροσδοκήτῳ καταπλαγέντας, εἰς οἰμωγὰς καὶ θρήνους
unexpectedness astounded into wailings and laments

τραπῆναι καὶ ἀμηχανίαν δεινήν, διενθυμουμένους ὅ τι καὶ
to-have-turned and helplessness terrible pondering what — also
δράσαιεν. ἤδη δὲ πρὸς ἀλκὴν ὁρμᾷν διαλογιζομένων, καὶ
they-should-do already and to strength to-rush deliberating and
ῥωμαλέως τοῖς ἐναντίοις συστάδην ἀντικαθίστασθαι, τῆς
strongly the opponents in-close-fight to-withstand the
ἕω τηλαυγῶς ὑπαυγαζούσης, προέφθασε τὴν ἐκείνων ὁρμὴν
dawn far-shining glimmering anticipated the their rush
ὁ στρατοπεδάρχης Πέτρος, μετὰ τῆς δυνάμεως εἰς τὴν
the stratopedarch Peter with the force into the
πόλιν διὰ τῶν πυλῶν εἰσελάσας, ἃς οἱ προκατασχόντες
city through the gates having-ridden-in which the having-first-seized
τὸ ἄστυ Ῥωμαῖοι αὐτῷ ἀνεπέτασαν. Ἀντιοχεῖς δὲ πρὸς
the town Romans for-him had-thrown-open Antiochenes and against
τοσαύτην στρατιὰν μηδὲ ἀντωπεῖν ἐξισχύοντες, τὰ ὅπλα
such army not-even to-look-in-the-face being-strong the arms
ῥίψαντες, εἰς ἱκετείαν ἐτράποντο. οὓς ὁ στρατοπεδάρχης
having-thrown-away to supplication turned whom the stratopedarch
ἀνδραποδισάμενος, καὶ τὴν πυρκαϊὰν ἀποσβέσας, καὶ τῶν
having-enslaved and the conflagration having-quenched and of-the
σύλων ἐξελὼν τὰ πρωτόλεια, τήν τε πόλιν κατὰ
spoils having-taken-out the first-fruits the both city by
κράτος κατεῖχε, καὶ τῶν τειχῶν τὰ ἐπισφαλῆ ἐκρατύνετο.
force held and of-the walls the weak(-parts) strengthened
5 Ἀλλ᾽ οὕτω μὲν ἡ περιφανὴς καὶ μεγάλη Ἀντιόχεια πρὸς
but so indeed the illustrious and great Antioch by
τῶν Ῥωμαίων ἥλω τε καὶ ἐπορθήθη. τὴν γοῦν ταύτης
the Romans was-taken both and was-sacked the at-any-rate its
ὁ αὐτοκράτωρ διακούσας κατάσχεσιν, ἐγεγήθει τε, καὶ τῷ
the emperor having-heard capture rejoiced both and to-the
κρείττονι εὐχαριστήρια ἔθυσεν. ἔτυχε δὲ τότε τὴν τῶν
stronger thank-offerings sacrificed it-happened and then the of-the

Ἀσωμάτων ἀπαντῆσαι σύναξιν, ἐν ᾗ καὶ μοναχόν τινα
Bodiless(-ones) to-fall feast in which also monk a-certain
λέγεται τῶν ἐρημικῶν ἐπιστόλιον ἐπιδόντα τῷ βασιλεῖ,
it-is-said of-the hermits a-little-letter having-handed to-the emperor
ἐκποδὼν ἐξαυτῆς οἴχεσθαι. τὸν δὲ ἀνελῖξαί τε τοῦτο,
out-of-the-way forthwith to-have-gone him and to-unroll both this
καὶ τὸν νοῦν αὐτοῦ ἀναλέξασθαι· εἶναι δὲ τὴν τούτου
and the meaning its to-read to-be and the its
ἔμφασιν τοιαύτην· "ἐμοὶ τῷ σκώληκι παρὰ τῆς προνοίας
purport such to-me the worm by the providence
ἀπεκαλύφθη, βασιλεῦ, μεταναστῆναί σε τῶν τῇδε τῷ
it-was-revealed emperor to-depart you from-the here(-things) in-the
μετὰ τὸν παρελθόντα Σεπτέμβριον τρίτῳ μηνί." πολλὰ
after the past September third month much
τοίνυν ἀναψηλαφήσας ὁ βασιλεύς, οὐχ εὗρε τὸν μοναχόν.
therefore having-searched the emperor not found the monk
ἐντεῦθεν ἐν κατηφείᾳ διῆγε καὶ σκυθρωπότητι· ἐπὶ κλίνης
thereafter in dejection he-lived and gloom on bed
τε τὸ παράπαν ἔκτοτε οὐκ ἐβουλήθη διαναπαύσασθαι,
both the at-all from-then not he-wished to-rest
ἀλλ' ἐπ' ἐδάφους ὑποστρωννύων δέρμα παρδάλεως, καὶ
but on floor spreading skin of-leopard and
κοκκοβαφῆ πῖλον, ἐπὶ τούτων ἐκάθευδε, μανδύῃ τῷ
scarlet-dyed felt on these he-slept with-a-cloak the
τοῦ μοναχοῦ Μιχαὴλ καὶ θείου αὐτοῦ, ᾧ Μαλεΐνος
of-the monk Michael and uncle his to-whom Maleinos
ἐπώνυμον, ἄνωθεν ἐπικαλύπτων αὑτοῦ τὸ σωμάτιον· ἐν
surname from-above covering his the poor-body in
οἷς εἴθιστο καθεύδειν, ὁπηνίκα τῶν δεσποτικῶν ἑορτῶν
which he-was-wont to-sleep when of-the of-the-Lord feasts
τις εἰσήλαυνε, καὶ τῶν μυστηρίων Χριστοῦ τῶν ἀχράντων
any came-in and of-the mysteries of-Christ the immaculate

ἠβούλετο μετασχεῖν. κατὰ ταύτας δὲ τὰς ἡμέρας συνέβη
he-wished to-partake in these and the days it-happened
καὶ τὸν Καίσαρα Βάρδαν, τὸν τοῦ αὐτοκράτορος Νικηφόρου
also the Caesar Bardas the of-the emperor Nikephoros
πατέρα, τοῦ βίου μεταναστῆναι, ὑπὲρ τὰ ἐννενήκοντα
father from-the life to-depart over the ninety
ἔτη διαβιώσαντα, κἂν τοῖς στρατιωτικοῖς καταλόγοις ἐξ
years having-lived even-in the military rolls from
αὐτῆς ἥβης καταγηράσαντα, καὶ πολλὰ τρόπαια καὶ νίκας
very youth having-grown-old and many trophies and victories
ἐν τοῖς κατὰ πόλεμον ἀνδραγαθήμασιν ἀναδησάμενον. ὃν
in the in war deeds-of-valor having-bound-on whom
ἐπένθησεν ὁ βασιλεὺς τεθνηκότα, ὡς τὸ εἰκός, ἐκ τῶν
mourned the emperor dead as the likely from the
ἀνακτόρων τε καὶ μέχρι τῆς ἑστίας αὐτοῦ κατὰ μεσημβρίαν
palace both and as-far-as the hearth his at south
κειμένης τοῦ ἄστεος, πρὸς τὸ κάταντες τῆς ἐπὶ θάλασσαν
lying of-the town toward the downhill of-the to sea
φερούσης ὁδοῦ, ἵνα ὁ τῆς Σοφίας λιμὴν ἥπλωται, τὸν
leading road where the — of-Sophia harbor is-spread-out the
τούτου νεκρὸν προέπεμψε, καὶ τῇ σορῷ περιέστειλε.
his corpse he-escorted and in-the coffin laid-out
μετὰ δέ τινας ἡμέρας τοῦ ἐπὶ τῷ πατρὶ πένθους τῷ
after and some days the for the father mourning to-the
βασιλεῖ ὑπολωφήσαντος, εὐκαιρίας ἡ Αὐγούστα Θεοφανὼ
emperor having-abated opportunity the Augusta Theophano
δραξαμένη, πρόσεισι τούτῳ καταμόνας, πολλὴν συνείρουσα
having-grasped approaches him alone much stringing-together
λόγων πειθώ, Ἰωάννην τε τὸν Μάγιστρον, ᾧ Τζιμισκῆς
of-words persuasion John both the Magistros to-whom Tzimiskes
τὸ ἐπώνυμον, οὐκ ἀνίη ἐξαιτουμένη, προσλιπαροῦσά
the surname not she-ceased asking-for entreating

τε καὶ ποτνιωμένη. καὶ δικαίαν δῆθεν τὴν σκῆψιν
both and imploring and just supposedly the pretext
προτεινομένη, καί, "ἵνα τί πάντα μέτρῳ καὶ σταθμῷ
putting-forward and for what all with-measure and weight
ῥυθμίζων τὰ σά, βασιλεῦ, ὡς ἀκριβῆ στάθμην εἶναί
regulating the your(-affairs) emperor as exact rule to-be
σε καὶ κανόνα σωφροσύνης εὐθύτατον, παρορᾷς ἄνδρα
you and canon of-self-control most-straight do-you-overlook a-man
γενναῖον οὕτω καὶ νεανικόν, ἀριπρεπῆ τε κατὰ τὰς
noble so and youthful most-distinguished both in the
μάχας τυγχάνοντα καὶ ἀκαταγώνιστον, ἐγκυλινδεῖσθαι τῷ
battles being and invincible to-wallow in-the
βορβόρῳ τῶν ἡδονῶν, καὶ βίον μεταδιώκειν παρεξηυλημένον
mire of-the pleasures and a-life to-pursue dissipated
καὶ ἄνετον, σφριγῶντα καὶ αὐτὴν τῆς ἡλικίας ἄγοντα
and unrestrained swelling and very of-the age leading
τὴν ἀκμήν, καὶ ταῦτα αὐτανεψιὸν τοῦ σοῦ πεφηνότα
the prime and this a-cousin of-the your having-been-shown
κράτους, λαμπράν τε τοῦ γένους, ἕλκοντα τὴν σειράν;
power brilliant both of-the family drawing the chain
ἀλλ', εἰ δοκεῖ, κέλευε τὴν ταχίστην, τῶν χώρων
but if it-seems-good order the quickest from-the lands
ἵνα διατρίβει ἀπάραντα, ἀφικέσθαι τε πρὸς ἡμᾶς καὶ
where he-stays having-set-out to-come both to us and
συζύγῳ τῶν εὐγενῶν ἁρμοσθῆναι. τὴν γὰρ ἤδη νόμῳ
with-a-wife of-the nobles to-be-joined the for already by-law
γάμου προσαρμοσθεῖσαν αὐτῷ ὁ πικρός, ὡς οἶσθα, καὶ
of-marriage joined to-him the bitter as you-know and
λυσιμελ�ὴς ἐξεθέρισε θάνατος. εἶξον λοιπόν, βασιλεῦ, καὶ
limb-loosening mowed-down death yield henceforth emperor and
εἰσηγουμένῃ τὰ δέοντα πείσθητι, καὶ μὴ προκείσθω
to-me-proposing the needful(-things) be-persuaded and not let-there-lie-open

ταῖς ἀκολάστοις γλώσσαις κωμῳδία καὶ σαρκασμὸς ὁ
to-the licentious tongues mockery and sarcasm he-who
ἐκ τοῦ σοῦ γένους ἀναδραμών, κἂν ταῖς τῶν πολέμων
from the your family having-sprung even-in the of-the wars
ἀνδραγαθίαις παρὰ πάντων μεγαλαυχούμενος."
deeds-of-valor by all being-boasted-of

6 Τούτοις τοῖς λόγοις μετελθοῦσα τὸν αὐτοκράτορα καί, ὡς
with-these the words having-gone-after the emperor and as
τὸ εἰκός, καταγοητεύσασα (εὔνοιαν γὰρ ὑπὲρ τὸ προσῆκον
the likely having-bewitched goodwill for beyond the fitting
παρεῖχεν αὐτῇ, ἐκτόπως τῆς ὥρας ταύτης ἡττώμενος),
he-showed to-her extraordinarily by-the bloom her being-overcome
ἀνέπεισεν εἰσκαλέσαι τὸν Ἰωάννην, καὶ θᾶττον ἀπαντῆσαι
she-persuaded to-call-in — John and quickly to-come
πρὸς τὸ Βυζάντιον. ὁ δὲ πρὸς τὴν βασιλεύουσαν εἰσελάσας
to — Byzantium he and to the reigning(-city) having-ridden-in
καὶ τῷ βασιλεῖ παραστάς, ἐπείπερ ἐπισκήψεις ἐδέξατο
and beside-the emperor having-stood since injunctions he-received
τοῖς βασιλείοις ὁσημέραι φοιτᾷν, τότε μὲν ἐφ' ἑστίας
to-the palace daily to-go then indeed to hearth
εὐθὺς ἀπηλλάττετο· μετέπειτα δὲ παρὰ τὴν βασίλειον
at-once went-off afterward and to the imperial
αὐλὴν οὐ διελίμπανεν ἀνιών. ἅτε δὲ θερμουργός τις
court not he-ceased going-up as and hot-headed a-certain
ἀνὴρ πεφυκώς, καὶ τολμήσας εἰ καί τις ἄλλος, καὶ
man being-by-nature and having-dared if even anyone else and
πράγμασιν ἐπιχειρεῖν ἀλλοκότοις παραβολώτατος, ἐξεῦρε
affairs to-attempt strange most-reckless he-found-out
μηχανήν, ὥστε διά τινων ἀφανῶν εἰσόδων πρὸς τῆς
a-device so-as through certain hidden entrances by the
Αὐγούστης ἑτοιμασθεισῶν ὑποδύεσθαί τε καὶ εἰς λόγους
Augusta having-been-prepared to-slip-in both and into words

ταύτῃ συνέρχεσθαι, καὶ τὴν τοῦ αὐτοκράτορος Νικηφόρου
with-her to-come and the of-the emperor Nikephoros
τῶν ἀνακτόρων μελετῆσαι καθαίρεσιν. ἐντεῦθεν ἄνδρας
from-the palace to-plan removal thereafter men
ῥωμαλέους καὶ νεανικοὺς τὰ πολέμια ἐκ διαλειμμάτων
strong and youthful in-the warlike(-things) at intervals
πρὸς αὐτὴν ἐξέπεμπεν, οὓς ὑποδεχομένη ἐν οἰκίσκῳ
to her he-sent whom receiving in little-room
σκοταίῳ παρ᾽ αὐτῇ παρεφύλαττεν. ἐπεὶ δὲ πόνον ἡ
dark beside herself she-kept when and toil the
τούτων ἐπὶ κακῷ συλλαβοῦσα συμφωνία καὶ δεινὴν ἀδικίαν
their for evil having-conceived conspiracy and dire injustice
ὠδίνασα, τὴν πονηρὰν τεκεῖν ἀνομίαν ἠπείγετο,
having-been-in-labor-with the wicked to-bring-forth lawlessness hastened
συνελθόντες αὖθις ἀλλήλοις κατὰ τὸ σύνηθες,
having-come-together again with-one-another according-to the custom
τὸν αὐτοκράτορα Νικηφόρον τῆς ἀρχῆς κατασπᾶσαι
the emperor Nikephoros from-the rule to-drag-down
διέγνωσαν, ἐκεῖθεν ἐφ᾽ ἑστίας ὁ Ἰωάννης ἀπαλλαγείς,
they-decided from-there to hearth — John having-gone-off
Μιχαήλ τε, τὸν καλούμενον Βούρτζην, καὶ Λέοντα τὸν
Michael both the called Burtzes and Leo —
Πεδιάσιμον εἰσκαλέσας καὶ τὸ δωμάτιον κλείσας, τὴν
Pediasimos having-called-in and the chamber having-shut the
τοῦ αὐτοκράτορος Νικηφόρου μετ᾽ αὐτῶν ἐσκαιωρεῖτο
of-the emperor Nikephoros with them contrived
ἀναίρεσιν. μὴν ἐφειστήκει τότε Δεκέμβριος, δεκάτην
killing month was-at-hand then December tenth
ἐλαύνων ἡμέραν. λέγεται δὲ κατὰ τὴν ἑσπέραν παρὰ
driving day it-is-said and in the evening at
τὸν καιρὸν τῆς ὑμνῳδίας κληρικόν τινα τῆς βασιλείου
the time of-the hymn-singing cleric a-certain of-the imperial

αὐλῆς λίβελλον ἀναδοῦναι τῷ βασιλεῖ, ἐν ᾧ ταῦτα
court petition to-hand to-the emperor in which these-things
ἐγέγραπτο· "γνωστὸν ἔστω σοι, βασιλεῦ, ὡς ὄλεθρός
had-been-written known let-it-be to-you emperor that destruction
σοι ταύτῃ τῇ νυκτὶ ἐπικαττύεται χαλεπός. ὅτι δὲ ἀληθῆ
for-you this the night is-being-contrived harsh that and true
ταῦτα, ἡ γυναικωνῖτις ἐρευνηθήτω, ἐν ᾗ ἄνδρες ἔνοπλοι
these-things the women's-quarters let-be-searched in which men armed
καταληφθήσονται, οἱ τὴν σὴν μέλλοντες αὐτουργῆσαι
will-be-caught those the your going to-perpetrate
σφαγήν." τὸν γοῦν λίβελλον ὁ βασιλεὺς ἀναγνούς,
slaughter the at-any-rate petition the emperor having-read
Μιχαὴλ τῷ τοῦ κοιτῶνος κατάρχοντι ἔρευναν ἀκριβῆ τῶν
to-Michael the of-the bedchamber ruler search exact of-the
ἀνδρῶν ποιῆσαι παρεκελεύσατο· ὁ δέ, εἴτε τὴν Αὐγούσταν
men to-make ordered he and whether the Augusta
καταιδεσθείς, εἴτε μελλήσει χρησάμενος, ἢ καὶ θεοβλαβείᾳ
having-respected or with-delay having-used or also by-God-sent-folly
παρενεχθείς, παρῆκε τὸ δωμάτιον, ἐν ᾧ τὸ τῶν φόνων
led-astray let-pass the chamber in which the of-the murders
τῶν ἀνδρῶν καθῆστο στίφος, ἀνεξερεύνητον. ἤδη δὲ τῆς
of-the men sat band unsearched already and the
νυκτὸς ἐπελθούσης, κατὰ τὸ εἰθισμένον ἡ βασιλὶς πρὸς
night having-come according-to the custom the empress to
τὸν αὐτοκράτορα εἰσφοιτήσασα, λόγους διῄει περὶ
the emperor having-gone-in words went-through about
τῶν ἐκ Μυσίας νεωστὶ ἀφιγμένων νυμφῶν, ὅτι, "ἄπειμι
the from Mysia newly arrived brides that I-go-away
τὰ πρὸς θεραπείαν αὐτῶν ἐπισκήψασα, ἔπειτα δὲ
the(-things) for care their having-enjoined then and
φοιτήσω πρὸς σέ· ἀλλ' ἠνεῳγμένος ὁ κοιτωνίσκος ἔστω,
I-will-come to you but opened the little-bedchamber let-be

καὶ μὴ κλεισθήτω τὰ νῦν· παλινοστήσασα γὰρ ἐγὼ τοῦτον
and not let-it-be-shut the now having-returned for I it
κλείσω λοιπόν.” ταῦτα προσειποῦσα ἐκεῖθεν ἐξῄει. ὁ δὲ
I-will-shut henceforth these-things having-said from-there went-out the and
βασιλεὺς δι’ ὅλης μὲν τῆς φυλακῆς τῆς νυκτὸς τὰς
emperor through all indeed the watch of-the night the
συνήθεις εὐχὰς ἀνέπεμπε τῷ Θεῷ, καὶ τῇ μελέτῃ τῶν
customary prayers sent-up — to-God and in-the study of-the
θείων γραφῶν διεσχόλαζεν. ἐπεὶ δὲ τὸν ὕπνον ἡ φύσις
divine scriptures be-was-occupied when and the sleep the nature
ἀπῄτει, πρὸ τῶν σεπτῶν εἰκόνων τῆς τε θεανδρικῆς
demanded before the august icons of-the both divine-human
τοῦ Χριστοῦ μορφῆς, καὶ τῆς Θεομήτορος, καὶ τοῦ θείου
— of-Christ form and of-the Mother-of-God and of-the divine
προδρόμου καὶ κήρυκος, παρὰ τὸ παρδάλειον δέῤῥος καὶ
forerunner and herald on the leopard skin and
τὸν κοκκοβαφῆ πῖλον, ἐπ’ ἐδάφους διανεπαύετο.
the scarlet-dyed felt on floor he-rested

XIV · THE MURDER OF NIKEPHOROS

In a snowstorm John is hauled up to the palace in a basket. A little man from the women's quarters shows the conspirators the emperor asleep on the floor; Leo Balantes wounds him, and John upbraids him, plucks his beard, and drives a sword through his skull. Leo sums up Nikephoros' virtues and his one fault, an unbending severity. John is acclaimed, and the body is buried at night in the Holy Apostles.

Οἱ δὲ πρὸς τῆς Αὐγούστης ὑποδεχθέντες ὑπηρέται τοῦ 7
the and by the Augusta received servants —
Ἰωάννου, τοῦ δωματίου ξιφήρεις ἐκπηδήσαντες, τὴν
of-John from-the little-room sword-in-hand having-leapt-out the

ἐκείνου ἄφιξιν προσεδέχοντο, περὶ τὰ ὕπαιθρα τῶν
his arrival awaited on the open(-terraces) of-the
βασιλείων ὑπερῴων κατασκοπούμενοι. πέμπτην τῆς νυκτὸς
palace upper(-floors) keeping-watch fifth of-the night
ὥραν ὁ γνώμων ἤδη κατεπηγγέλλετο· δριμεῖα δέ
hour the sundial already announced sharp and
τις βορέου αὖρα τὸ τοῦ ἀέρος ἐπεῖχε κατάστημα, καὶ
a-certain of-north breeze the of-the air held state and
χιὼν ἐχεῖτο πολλή· καὶ ὁ Ἰωάννης ἀφίκετο μετὰ τῶν
snow was-poured much and — John arrived with the
συνωμοτῶν, ἐπὶ λέμβου τὸν αἰγιαλὸν παραπλέων, καὶ τῆς
conspirators on a-skiff the shore sailing-along and on-the
ἠπείρου προσεπιβαίνων, ἵνα ὁ λίθινος λέων τὸν ταῦρον
mainland landing where the stone lion the bull
ζωγρεῖ (Βουκολέοντα τὸν τόπον κέκληκεν ἡ συνήθεια)· ὃς
seizes Boukoleon the place has-called the custom who
τοῖς ἄνωθεν ἐπὶ τῶν ὑπαίθρων προκύπτουσιν ὑπηρέταις
to-the from-above on the open(-terraces) leaning-out servants
συρίττων ἐπεγινώσκετο. τοιοῦτον γὰρ τοῖς παλαμναίοις
whistling was-recognized such for to-the murderers
ἐδέδοτο σύνθημα. κόφινον οὖν καλωδίοις ἐξηρτημένον
had-been-given signal a-basket then from-ropes hung
χαλάσαντες ἄνωθεν, καθ' ἕνα τοὺς συνωμότας πρότερον
having-let-down from-above by one the conspirators first
ἅπαντας ἀνιμήσαντο, ἔπειτα δὲ καὶ τὸν Ἰωάννην αὐτόν.
all they-hauled-up then and also — John himself
ἀνελθόντες οὖν παρὰ πᾶσαν ἀνθρωπίνην ὑπόνοιαν, καὶ
having-gone-up then beyond all human expectation and
τὰ ξίφη γυμνώσαντες, εἰς τὸν βασιλικὸν εἰσελαύνουσι
the swords having-bared into the imperial they-drive-in
θάλαμον, καὶ τὴν κλίνην κατειληφότες, καὶ ταύτην εὑρόντες
bedchamber and the bed having-reached and it having-found

κενὴν καὶ μήτινα ἐν αὐτῇ διαναπαυόμενον, ἐπεπήγεσαν
empty and no-one in it resting they-stood-fixed
ἀπὸ τοῦ δέους, καὶ κατακρημνίζειν αὑτοὺς ἐπειρῶντο
from the fear and to-throw-headlong themselves they-tried
πρὸς θάλασσαν. ἀλλ' ἀνδράριόν τι τῶν ἐκ τῆς
into sea but a-manikin a-certain of-the from the
γυναικωνίτιδος ἰταμῶν, αὐτῶν ἡγησάμενον, ὑποδεικνύει
women's-quarters reckless(-ones) them leading points-out
τὸν βασιλέα καθεύδοντα, ὃν κύκλῳ περιστάντες ἔνυττον
the emperor sleeping whom in-a-circle having-stood-around they-struck
τοῖς ποσὶν ἐναλλόμενοι. διυπνισθέντα δὲ τοῦτον καὶ τὴν
with-the feet leaping-on having-been-awakened and him and the
κεφαλὴν ἐπ' ἀγκῶνος ἐρείσαντα, ξίφει βιαίως παίει Λέων
head on elbow having-propped with-sword violently strikes Leo
ὁ Βαλάντης ὀνομαζόμενος. ὁ δὲ περιαλγήσας τῷ
the(-one) Balantes named he and having-suffered-sorely from-the
τραύματι (μέχρι τῆς ὀφρύος καὶ τῆς βλεφαρίδος τὸ ξίφος
wound as-far-as the eyebrow and the eyelid the sword
καθίκετο, ἀπαράξαν μὲν τὸ ὀστοῦν, μὴ πλῆξαν δὲ τὸν
reached having-shattered indeed the bone not having-struck but the
ἐγκέφαλον), "Θεοτόκε, βοήθει," ἐκέκραγε γεγωνοτέρᾳ φωνῇ·
brain God-bearer help he-cried with-louder voice
ἐῤῥεῖτο δὲ πανταχόθεν τῷ αἵματι καὶ κατεφοινίσσετο. ὁ
he-flowed and from-every-side with-the blood and was-reddened —
δὲ Ἰωάννης, ἐπὶ τῆς βασιλικῆς καθίσας στρωμνῆς, ἑλκύειν
and John on the imperial having-sat bed to-drag
ὡς αὐτὸν τὸν βασιλέα παρεκελεύσατο. ὃν ἑλκυσθέντα,
to himself the emperor ordered whom dragged
ὀκλάζοντά τε καὶ ἐπὶ τὸ ἔδαφος διαῤῥέοντα (οὐδὲ γὰρ
sinking-down both and on the floor flowing nor for
οἷός τε ἦν ἐπὶ γόνυ ἀνίστασθαι, καταβληθείσης αὐτῷ
able — he-was on knee to-rise having-been-cast-down for-him

τῆς γιγαντώδους ἰσχύος τῇ τοῦ ξίφους πληγῇ), ἀνηρώτα
the gigantic strength by-the of-the sword blow questioned
τοῦτον μετὰ ἀπειλῶν, καί, "λέγε μοι, ἀγνωμονέστατε σὺ καὶ
him with threats and tell me most-ungrateful you and
βάσκανε τύραννε, οὐ δι' ἐμοῦ τῆς Ῥωμαϊκῆς ἡγεμονίας
envious tyrant not through me the Roman rule
ἐπέβης, καὶ τὴν τοσαύτην δυναστείαν ἀνείληφας; πῶς οὖν,
you-mounted and the so-great power you-took-up how then
τῆς τοιαύτης ἀλογήσας εὐεργεσίας, καὶ φθόνῳ καὶ μανίᾳ
the such having-disregarded benefaction and by-envy and madness
οἰστρηλατηθείς, τῆς τῶν στρατευμάτων καθαιρήσειν ἀρχῆς
goaded from-the of-the armies to-dislodge command
τὸν σὸν εὐεργέτην ἐμὲ οὐκ ἐνάρκησας; ἀλλὰ κατ' ἀγροὺς
the your benefactor me not you-shrank but in fields
σχολάζειν διαφῆκας μετὰ τῶν γεωργῶν, ὡσεί τινα ἄτιμον
to-be-at-leisure you-let-go with the farmers like some dishonored
μετανάστην, ἄνδρα γενναῖον οὕτω, καὶ νεανικὸν ὑπὲρ σέ·
exile a-man noble so and youthful beyond you
ὃν τὰ τῶν ἐναντίων φρίττει στρατόπεδα, καὶ οὗ τῶν
whom the of-the opponents dread camps and of-whom from-the
χειρῶν οὐκ ἔστιν ὅστις σε ῥύσεται νῦν. εἰπὲ τοίνυν, εἴ τίς
hands not there-is who you will-rescue now say therefore if any
σοι πρὸς ταῦτα δικαιολογίας ἀντιλογία ὑπολέλειπται."
to-you to these-things of-plea counter-argument is-left

8 Ὁ δὲ βασιλεύς, λειποθυμῶν ἤδη καὶ μὴ ἔχων τὸν αὑτῷ
the and emperor fainting already and not having the(-one) him
ἐπαμύνοντα, τὴν Θεοτόκον ἐκάλει ἐπίκουρον. Ἰωάννης δὲ
defending the God-bearer called helper John and
τὸν πώγωνα τούτου δραξάμενος ἀνηλεῶς ἔτιλλε, καὶ οἱ
the beard his having-grasped pitilessly plucked and the
συνωμόται ταῖς λαβαῖς τῶν ξιφῶν τὰς αὐτοῦ σιαγόνας
conspirators with-the hilts of-the swords the his jaws

ὠμῶς καὶ ἀφιλανθρώπως ἔνυττον, ὡς διασαλεῦσαί τε
cruelly and inhumanly struck so-that to-shake both
τοὺς ὀδόντας καὶ παρακινῆσαι αὐτοὺς τοῦ φατνώματος.
the teeth and to-dislodge them from-the jaw-socket
ἐπεὶ δὲ προσκορεῖς ἦσαν τοῦτον ποινηλατούμενοι, κατὰ
when and sated they-were him punishing against
τῶν στέρνων ὁ Ἰωάννης παίει ποδί, τό τε ξίφος
the chest — John strikes with-foot the both sword
ἀνατείνας κατὰ μέσον διήλασε τοῦ κρανίου, πλήττειν τὸν
having-raised in middle drove-through of-the skull to-strike the
ἄνδρα καὶ τοῖς ἄλλοις ἐγκελευσάμενος. οἱ δὲ κατεσπάθιζον
man also to-the others having-ordered they and cut-down
τοῦτον ἀνηλεῶς, καί τις ἀκουφίῳ τὸ μετάφρενον
him pitilessly and someone with-an-akouphion the back
αὐτοῦ πλήξας διαμπερὲς ἐπὶ τὰ στέρνα διήλασε. τὸ δὲ
his having-struck right-through to the chest drove-through the and
τοιοῦτον ὅπλον σιδήρειον ἐπίμηκες πέφυκεν, ἐρωδιοῦ ῥάμφει
such weapon iron long is of-heron to-beak
προσεοικὸς ἀτεχνῶς· παρὰ τοσοῦτον δὲ διαλλάττει τοῦ
resembling simply by so-much and it-differs from-the
ῥάμφους κατὰ τὸν σχηματισμόν, παρ᾽ ὅσον ἐκεῖνο μὲν
beak in the shape by as-much-as that indeed
ἰθυτενὲς ἡ φύσις ἐκλήρωσε τῷ πτηνῷ, τὸ δὲ εἰς καμπὴν
straight the nature allotted to-the bird the but into a-bend
ἠρέμα μετρίαν ἐκτείνεται, ὀξεῖαν ἐπιεικῶς προβαλλόμενον
gently moderate extends sharp fairly putting-forth
τὴν ἀκμήν. τοιαύτην μὲν δὴ Νικηφόρος ὁ αὐτοκράτωρ
the point such indeed truly Nikephoros the emperor
τὴν τοῦ βίου εὗρε καταστροφήν, πάντα μὲν τὸν τῆς ζωῆς
the of-the life found end all indeed the of-the life
χρόνον πεντήκοντα καὶ ἑπτὰ ἔτη διαβιούς, ἓξ δὲ καὶ μόνους
time fifty and seven years having-lived six and also only

ἐνιαυτοὺς πρὸς μησὶ τέσσαρσι τὴν τῆς βασιλείας ἰθύνας
years with months four the of-the empire having-directed
ἀρχήν· ἀνὴρ ἀνδρείᾳ καὶ σώματος ῥώμῃ πᾶσαν ἀδηρίτως
rule a-man in-bravery and of-body in-strength all indisputably
ὑπερβαίνων τὴν κατ᾽ αὐτὸν γενεάν, ἐμπειρότατός τε καὶ
surpassing the in his generation most-experienced both and
δραστικώτατος τὰ πολέμια, καὶ πρὸς πᾶσαν ἰδέαν
most-effective in-the warlike(-things) and toward every kind
πόνων ἀνένδοτος, καὶ σώματος ἀμείλικτος καὶ ἀκολάκευτος
of-toils unyielding and of-body unbending and unflattered
ἡδοναῖς· μεγαλόφρων τε καὶ μεγαλοφυὴς τὰ πολιτικά,
by-pleasures high-minded both and great-natured in-the civic(-things)
ἐννομώτατα δικάζων, καὶ νομοθετῶν ἀσφαλῶς, καὶ μηδενὸς
most-lawfully judging and legislating securely and by-none
τῶν ἐν τούτοις κατατριβέντων ἡττώμενος· ἐν δὲ ταῖς
of-the(-men) in these having-spent-their-time being-overcome in and the
εὐχαῖς καὶ ταῖς παννύχοις πρὸς Θεὸν στάσεσιν ἄκαμπτός
prayers and the all-night to God standings unbending
τε καὶ ἀδαμάντινος, ἀμετεώριστον ἐν ταῖς ὑμνῳδίαις
both and adamantine undistracted in the hymn-singings
τὸν νοῦν συντηρῶν, καὶ πρὸς τὰ μάταια μηδόλως
the mind keeping and to the vain(-things) not-at-all
ῥεμβόμενον. ἐλάττωμα δὲ τοῦτο προσῆπτον οἱ πολλοὶ τῷ
wandering defect and this attached the many to-the
ἀνδρί, ὅτι τε ἀπαρεγχείρητον ἐβούλετο πρὸς ἁπάντων
man that both inviolate be-wished by all
συντηρεῖσθαι τὴν ἀρετήν, καὶ μὴ παραχαράττεσθαι τὴν
to-be-kept the virtue and not to-be-debased the
τοῦ δικαίου ἀκρίβειαν. διὸ καὶ ἀπαραίτητος ἦν εἰς τὴν
of-the just exactness wherefore also inexorable he-was for the
τούτων ἐκδίκησιν, καὶ τοῖς ὀλισθαίνουσιν ἀδυσώπητος
their punishment and to-those slipping unmoved-by-entreaty

καὶ φορτικὸς ἐδόκει, καὶ ἐπαχθὴς τοῖς ἀδιάφορον ἀντλεῖν
and burdensome he-seemed and oppressive to-those indifferent to-draw
τὸν βίον ἐθέλουσιν. ἐγὼ δέ φημι, ὡς εἰ μή τις κατὰ ῥοῦν
the life wishing I and say that if not some with stream
φερομένοις τοῖς πράγμασι βάσκανος νεμεσήσασα τύχη
being-borne the affairs envious having-grudged fortune
τὸν ἄνδρα τοῦτον ταχὺ τοῦ βίου ἀπήγαγε, μεγίστην
the man this quickly from-the life had-carried-off greatest
ἂν ἡ τῶν Ῥωμαίων ἡγεμονία καὶ οἵαν οὐκ ἄλλοτε
— the of-the Romans rule and such-as not at-another-time
εὔκλειαν ἀπηνέγκατο. ἀλλὰ γὰρ ἡ πρόνοια, τὰ σκληρὰ
glory would-have-carried-off but for the providence the hard
καὶ ὑπέραυχα τῶν ἀνθρώπων ἀποστυγοῦσα φρονήματα,
and boastful of-the men abhorring spirits
κολούει τε καὶ περιστέλλει καὶ εἰς τὸ μηδὲν συνωθεῖ,
curtails both and wraps-up and into the nothing pushes
οἷς οἶδεν ἀνεφίκτοις κρίμασι πρὸς τὸ συμφέρον τὸ
by-which it-knows unattainable judgments toward the advantageous the
τοῦ βίου πορθμεῖον εὐθύνουσα.
of-the life ferry steering
Ὁ δέ γε Ἰωάννης, ἐπεὶ τὸ τοιοῦτον θεοστυγὲς καὶ 9
— and at-least John when the such God-hated and
ἀνόσιον μῦσος εἰργάσατο, ἐπὶ τὸν λαμπρὸν οἶκον τῆς
unholy abomination he-wrought to the brilliant hall of-the
βασιλικῆς ἑστίας παρελθὼν (Χρυσοτρίκλινον τὸν δόμον
imperial hearth having-passed Chrysotriklinos the building
κατονομάζουσι), τό τε πέδιλον τὸ ἐρυθρὸν τοῖς ποσὶν
they-name the both sandal the red on-the feet
ἐνηρμόσατο, καὶ παρὰ τὸν θρόνον κεκάθικε τὸν βασιλικόν,
fitted and at the throne sat the imperial
καὶ περὶ τῶν κοινῶν πραγμάτων ἐφρόντιζεν, ὅπως τούτων
and about the common affairs took-thought how of-these

ἐγκρατής τε γένοιτο, καὶ μήτις αὐτῷ διαστασιάσοι
master both he-might-become and not-anyone against-him might-revolt
τῶν ἐξ αἵματος προσηκόντων τῷ αὐτοκράτορι. οἱ δὲ τοῦ
of-those by blood related to-the emperor the and —
Νικηφόρου ὑπασπισταί, ὀψέ ποτε τὴν ἀναίρεσιν τούτου
of-Nikephoros shield-bearers late at-last the killing his
ἐνωτισθέντες, ὥρμησαν ἐπαμῦναι αὐτῷ, ὑποτοπάζοντες,
having-heard rushed to-help him surmising
ἐν τοῖς ζῶσιν ἔτι περιεῖναι τὸν ἄνδρα, καὶ τὰς
among the living still to-survive the man and the
σιδηρέας πύλας παντὶ σθένει ἀναμοχλεύειν ἐπειρῶντο.
iron gates with-all strength to-lever-up tried
ἀλλὰ ὁ Ἰωάννης τὴν κεφαλὴν ἐνεχθῆναι τοῦ Νικηφόρου
but — John the head to-be-brought — of-Nikephoros
ἐνεκελεύσατο, καὶ ταύτην ὑποδειχθῆναι διὰ τρυμαλιᾶς τοῖς
ordered and it to-be-shown through a-hole to-the
ἐκείνου σωματοφύλαξι. παρελθὼν δέ τις, Ἀτζυποθεόδωρος
his bodyguards having-come and someone Atzypotheodoros
καλούμενος, ἐξέτεμέ τε τὴν κεφαλήν, καὶ τοῖς στασιάζουσιν
called cut-off both the head and to-the rebels
ὑπεδείκνυεν. οἱ δέ, τὸ ἀλλόκοτον καὶ ἄπιστον ἀθρήσαντες
showed they and the strange and incredible having-beheld
θέαμα, τά τε ξίφη τῶν χειρῶν μεθῆκαν, καὶ παλινῳδίαν
sight the both swords from-the hands let-go and recantation
ᾖσαν, καὶ τὸν Ἰωάννην αὐτοκράτορα Ῥωμαίων ὁμοφώνως
sang and — John emperor of-Romans with-one-voice
ἐκήρυττον. ὁ δὲ τοῦ Νικηφόρου νεκρὸς κατὰ τὸ ὕπαιθρον
proclaimed the and — of-Nikephoros corpse in the open
ἐπὶ τῆς χιόνος πανημέριος ἔκειτο· ἑνδεκάτη ἦν τοῦ
on the snow all-day lay eleventh it-was of-the
Δεκεμβρίου μηνὸς ἡμέρα, σαββάτῳ· ὃν πρὸς ἑσπέραν
December month day on-Saturday which toward evening

βαθεῖαν τῇ ὁσίᾳ παραπεμφθῆναι ὁ Ἰωάννης προσέταξε.
deep to-the holy(-rites) to-be-sent — John ordered
θήκῃ οὖν σχεδιασθείσῃ ξυλίνῃ ὡς ἔτυχε περιστείλαντες,
in-a-case then improvised wooden as it-happened having-wrapped
μέσον τῶν νυκτῶν λαθραίως εἰς τὸν θεῖον τῶν Ἀποστόλων
middle of-the nights secretly into the divine of-the Apostles
σηκὸν ἐξεκόμισαν, καὶ κατὰ τὸ ἡρῷον, ἔνθα τὸ τοῦ
precinct carried-out and in the heroon where the of-the
θείου καὶ ἀοιδίμου Κωνσταντίνου σῶμα κατάκειται, ἐν
divine and celebrated Constantine body lies in
μιᾷ τῶν βασιλικῶν σορῶν ἐκήδευσαν. ἀλλὰ γὰρ οὐκ
one of-the imperial coffins they-buried but for not
ἐπενύσταξεν ἡ δίκη τῇ μιαιφονίᾳ τῶν ἀλαστόρων ἐκείνων
dozed the justice at-the bloodguilt of-the accursed those
ἀνδρῶν, μετῆλθε δὲ πάντας ποινηλατοῦσα μετέπειτα,
men pursued and all punishing afterward
καὶ δημευθέντες, κατὰ τὰ ἔσχατα πενητεύσαντες,
and having-had-property-confiscated to the extremes having-been-poor
κακοὶ κακῶς τοῦ ζῆν ἀπηλλάγησαν, ὅσοι τῆς
evil evilly from-the to-live were-released as-many-as of-the
ἐκείνου σφαγῆς αὐτόχειρες ἐξεγένοντο. ἀλλ᾽ ἀποχρώντως
his slaughter self-handed-killers became but sufficiently
γὰρ εἰρῆσθαί μοι δοκεῖ περὶ τῶν πεπραγμένων τῷ
for to-have-been-said to-me seems about the deeds by-the
αὐτοκράτορι Νικηφόρῳ, καὶ τῆς αὐτοῦ βιοτῆς καὶ
emperor Nikephoros and the his life and
καταστροφῆς. τὸ δὲ πέρα τοῦ μετρίου κατατρίβειν τὸν
end the and beyond the measure to-wear-out the
λόγον καὶ κατατείνειν ἐκεῖ, πολυπραγμόνων ἡγοῦμαι τὸ
account and to-stretch there of-busybodies I-think the
πάθος καὶ τῆς γραφῆς ὑπερβαινόντων τὸ πλήσμιον,
affliction and of-the writing exceeding the surfeit

οἷς μηδὲ τὸ τυχὸν παρεῖται ἀνεξερεύνητον. δέον
for-whom not-even the chance(-thing) is-left unexamined needful
οὖν εἶναί μοι δοκεῖ, ταύτην τὴν περὶ ἐκείνου καὶ τῶν
then to-be to-me seems this the about him and of-the
αὐτῷ πραχθέντων διήγησιν περιστείλαντα, καὶ περὶ τῶν
by-him done narrative having-wrapped-up and about the
τῷ Ἰωάννῃ πραχθέντων, ὃς κατ᾽ ἐπίκλησιν Τζιμισκῆς
— by-John done who by surname Tzimiskes
ἐκαλεῖτο (τοῦτο δὲ τὸ τῆς Ἀρμενίων διαλέκτου πρόσρημα
was-called this and the of-the Armenians dialect appellation
ὄν, εἰς τὴν Ἑλλάδα μεθερμηνευόμενον μουζακίτζην δηλοῖ·
being into the Greek(-tongue) being-translated mouzakitzes means
βραχύτατος γὰρ τὴν ἡλικίαν τελῶν ἐπωνυμίαν ταύτην
very-short for in-the stature being surname this
ἐκτήσατο), κατὰ τὸ ἐνὸν ἐξειπεῖν, ὡς ἂν μὴ λήθης
he-acquired according-to the possible to-set-out so-that — not by-oblivion's
βυθοῖς παραῤῥυῇ ἔργα βιωφελῆ καὶ μνήμης ἐπάξια.
depths may-slip-away deeds life-benefiting and of-memory worthy

BOOK VI

XV · JOHN TZIMISKES EMPEROR

At dawn on 11 December John is proclaimed emperor with the sons of Romanos, and the proedros Basil, bastard of the elder Romanos, is made parakoimomenos; an order beheading plunderers keeps the city quiet. Nikephoros' brother Leo flees to the Great Church and is banished with his son Nikephoros to Lesbos, his son Bardas to Amaseia. The author paints John: short, strong, and generous, if given to drink and pleasure. Polyeuktos admits him to the church only once the Augusta is banished, Nikephoros' decree on the Church is annulled, and the murderer, Leo Balantes, is named.

Τοῦ δὲ αὐτοκράτορος Νικηφόρου τὸν τρόπον, ὃν εἴρηταί 1
of-the and emperor Nikephoros the way which has-been-said
μοι, ἀναιρεθέντος, τὰς τῆς βασιλείας ἡνίας Ἰωάννης,
by-me having-been-killed the of-the empire reins John
ὁ κατ' ἐπίκλησιν Τζιμισκῆς, ὑποζώννυται. ἤδη δὲ
the by surname Tzimiskes girds-on already and
τετάρτης φυλακῆς τῆς νυκτὸς ἀρχομένης, ἑβδόμης ἡμέρας
of-(the)-fourth watch of-the night beginning seventh day
διαφανούσης, ἑνδεκάτης τελούσης τοῦ Δεκεμβρίου μηνός,
dawning eleventh being of-the December month
κατὰ τὴν τρισκαιδεκάτην ἴνδικτον τοῦ ἑξακισχιλιοστοῦ
in the thirteenth indiction of-the six-thousandth
τετρακοσιοστοῦ ἑβδομηκοστοῦ ὀγδόου ἔτους, λογάδων
four-hundredth seventieth eighth year of-picked
ἀνδρῶν στίφος, διὰ τῶν ἀγυιῶν τοῦ ἄστεος διερχόμενον,
men band through the streets of-the town passing
αὐτοκράτορα Ῥωμαίων τὸν Ἰωάννην σὺν τοῖς τοῦ ἤδη
emperor of-Romans — John with the of-the already
βασιλεύσαντος Ῥωμανοῦ παισὶν ἀνηγόρευον· οἷς ἐκ
having-reigned Romanos sons proclaimed whom from

διαστήματος ἐφείπετο Βασίλειος ὁ Νόθος, Ῥωμανοῦ τοῦ
a-distance followed Basil the Bastard of-Romanos the
πάλαι αὐτοκράτορος ἐκ Σκυθίδος υἱός, τῷ τοῦ
of-old emperor from a-Scythian-woman son with-the of-the
προέδρου ἐκδιαπρέπων ἀξιώματι. Νικηφόρος δέ, μόνος τῶν
proedros being-distinguished dignity Nikephoros and alone of-the
λοιπῶν σεβαστῶν, ἐς γέρας τῷ ἀνδρὶ ταύτην ἐκαινοτόμησε
other augusti as prize for-the man this newly-created
τὴν τιμήν· ὅσπερ, εἰ καὶ ἐκτομίας ἐτύγχανεν, ἀλλὰ τὴν
the honor who if even eunuch he-happened-to-be but —
ἄλλως δραστήριός τε καὶ ἀγχίνους ὑπῆρχεν ἀνήρ, εὐφυῶς
otherwise energetic both and shrewd he-was a-man aptly
τοῖς πράγμασιν ἐν περιστάσεσιν ἁρμοττόμενος. συνωμότης
to-the affairs in crises adapting fellow-conspirator
δὲ ὢν Ἰωάννῃ, καὶ λίαν ἐκτόπως αὐτῷ φιλικῶς διακείμενος,
and being to-John and very extraordinarily to-him friendly disposed
ἐσκήπτετο πρότερον νοσεῖν, κἄπειτα πονήρως εἶχε, καὶ
he-pretended earlier to-be-ill and-then badly he-was and
κλινοπετὴς ἦν. νύχιον οὖν τὴν τοῦ Νικηφόρου μεμαθηκὼς
bedridden he-was by-night then the — of-Nikephoros having-learned
ἀναίρεσιν, τῷ προειληφότι στίφει μετὰ σπείρας γενναίων
killing to-the having-gone-ahead band with company of-noble
νεανίσκων ἐπισπόμενος, σεβαστὸν βασιλέα Ῥωμαίων
young-men following august emperor of-Romans
τὸν Ἰωάννην ἀνεκήρυττεν· εἰς τὰ βασίλειά τε αὖθις
— John proclaimed into the palace both again
ἀνῄει, καὶ περὶ τῶν κοινῶν Ἰωάννῃ συνέπραττε, τὴν
went-up and about the common(-affairs) with-John worked-together the
τοῦ παρακοιμωμένου πρὸς ἐκείνου τιμὴν εἰληφώς. περὶ
of-the parakoimomenos from him honor having-received about
τῶν ξυνοισόντων οὖν αὑτοῖς βουλευσάμενοι, ἐντάλματα
the advantageous then for-them having-deliberated injunctions

καὶ προστάγματα διὰ παντὸς τοῦ ἄστεος αὐθωρὸν
and commands through all the town at-once
ἔστελλον, μὴ ἐξεῖναί τινι νεωτερειῖν, ἢ ἐπὶ διαρπαγὰς
they-sent not to-be-permitted for-anyone to-make-revolt or to plunderings
ἀποκλίνειν· κίνδυνον γὰρ εἶναι τῷ τοιουτότροπόν τι
to-turn danger for to-be for-the(-one) of-such-sort something
τολμήσαντι, ἀφαιρεῖσθαι τῆς κεφαλῆς. τοῦτο τὸ παράγγελμα
having-dared to-be-deprived of-the head this the order
ἐπιεικῶς Βυζαντίους ἐξεδειμάτωσε, καὶ οὐδεὶς ἐτόλμα
fairly Byzantines terrified and no-one dared
νεοχμῶσαί τι παρὰ τὸ προσταχθέν. εἰώθεσαν γὰρ ἐν
to-innovate anything against the commanded they-were-wont for in
ταῖς τοιαύταις μεταβολαῖς οἱ ἀργοὶ τοῦ δήμου, καὶ ἄποροι,
the such changes the idle of-the people and destitute
ἐς διαρπαγὰς χρημάτων καὶ κατασκαφὰς οἴκων, ἔσθ' ὅτε
to plunderings of-goods and demolitions of-houses there-is when
καὶ τῶν ὁμοφύλων σφαγὰς τρέπεσθαι, καθά που καὶ ἐν
also of-the kinsmen slaughters to-turn as somewhere also in
τῇ ἀναῤῥήσει τοῦ αὐτοκράτορος Νικηφόρου συμβέβηκεν.
the proclamation of-the emperor Nikephoros happened
ἀλλὰ τὴν τοιαύτην ἀκάθεκτον τοῦ ἀγοραίου ὄχλου φορὰν
but the such unrestrainable of-the market crowd rush
προφθάσας ἀνέστειλε τὸ τοῦ Ἰωάννου διάγγελμα.
having-anticipated checked the — of-John proclamation
Ἐν τούτοις τῶν πραγμάτων ἠωρημένων, Λέων 2
in these the affairs being-in-suspense Leo
Κουροπαλάτης, ὁ τοῦ Νικηφόρου σύναιμος, ἐφ' ἑστίας
Kouropalates the — of-Nikephoros brother at hearth
καθεύδων, τὴν τοῦ ἀδελφοῦ σφαγὴν διενηχθείς, δέον
sleeping the of-the brother's slaughter having-heard it-being-needful
αὐτῷ, χρυσοῦ θησαυροὺς κεκτημένῳ πολυταλάντους,
for-him of-gold treasures having of-many-talents

κατὰ ἄμφοδον διασπείρειν, καὶ τούτοις τοὺς ἀστικοὺς
along street to-scatter and with-these the townsmen
δεξιούμενον, εἰς ἐκδίκησιν κατὰ τῶν τυράννων παρακαλεῖν
welcoming to vengeance against the tyrants to-summon
(εἰ γὰρ οὕτω διενοήθη, τάχ' ἂν ἀναιμωτὶ τὸν Ἰωάννην
if for so he-had-thought perhaps — without-bloodshed — John
τῶν ἀρχείων κατέσπασεν· ὅτι τε οἱ τὰς τῆς
from-the offices he-would-have-dragged-down because both those the of-the
πολιτείας ἐγκεχειρισμένοι ἀρχὰς πρὸς τοῦ Νικηφόρου
state entrusted offices from — Nikephoros
ταύτας εἰλήφεσαν· καὶ ὅτι στρατιωτικὸν ἀξιόχρεων τῶν
these had-received and because military(-force) adequate of-those
ὑπ' ἐκείνῳ τεταγμένων τῷ Βυζαντίῳ ἐπεχωρίαζεν· οἳ
under him ranked — in-Byzantium was-staying who
πάντες αὐτῷ βουληθέντι, καὶ πρὸς ἀλκὴν καὶ νεωτερισμὸν
all with-him having-wished and to strength and revolt
ὡρμηκότι, συνήραντο ἄν)· ἀλλὰ γάρ, τῷ μεγέθει τοῦ
having-rushed would-have-joined — but for by-the greatness of-the
πάθους τὰς φρένας ἐκθροηθείς, τοῦτο μὲν οὐδ' ἐπὶ νοῦν
blow the wits shaken this indeed not-even into mind
ἔλαβεν, ὡς εἶχε δὲ δρόμων τὸν περίπυστον τῆς τοῦ Θεοῦ
he-took as he-had and at-a-run the famous of-the — of-God
Σοφίας καταλαμβάνει σηκόν, τῇ τύχῃ καὶ τῇ φορᾷ
Wisdom reaches precinct to-the fortune and to-the course
τῶν πραγμάτων ταῦτα καταλιπών. ὁ δέ γε Ἰωάννης,
of-the affairs these-things having-left — and at-least John
πρὶν τηλαυγῶς τῇ γῇ τὰς ἀκτῖνας προσυφαπλῶσαι τὸν
before far-shining on-the earth the rays to-spread the
ἥλιον, ταῖς μεγίσταις τῆς πολιτείας ἀρχαῖς οἰκείους ἄνδρας
sun in-the greatest of-the state offices own men
ἀποκαθίστησι, Πραίτωρα, καὶ τοῦ πλωΐμου Δρουγγάριον,
establishes Praetor and of-the fleet Droungarios

τῆς τε βίγλης, καὶ ὃν καλοῦσι νυκτέπαρχον, τοὺς
of-the both Watch and whom they-call nykteparchos those
τοῦ Νικηφόρου, παραιτησάμενος· οὓς ἅμα τοῖς ἐξ
— of-Nikephoros having-dismissed whom together-with those from
αἵματος ἐκείνου ἀνήκουσιν ἐν τοῖς σφετέροις ἀγροῖς
blood his related in the their-own fields
διατρίβειν παρέπεμψε. πίστεις τε τῷ τοῦ αὐτοκράτορος
to-stay he-sent pledges both to-the of-the emperor
Νικηφόρου ὁμαίμονι Λέοντι τῷ Κουροπαλάτῃ, καὶ
Nikephoros brother Leo the Kouropalates and
Νικηφόρῳ Πατρικίῳ, τῷ υἱῷ τοῦ τοιούτου Λέοντος, περὶ
to-Nikephoros Patrikios the son of-the such Leo about
τῶν σφῶν σωμάτων ἀπαθείας δούς, ἐς Μήθυμναν, τὴν
the their bodies' safety having-given to Methymna the
ἐν Λέσβῳ τῇ νήσῳ κατῳκισμένην, περιορίζει· τούς τε
in Lesbos the island settled he-banishes the both
τοπάρχας τῶν χώρων ἁπάντων μεθίστησι, καὶ οἰκείους
toparchs of-the lands all he-removes and own
ἀντ' ἐκείνων ἀποκαθίστησι. τότε δὴ καὶ Βάρδαν, τὸν τοῦ
instead of-them establishes then indeed also Bardas the of-the
Κουροπαλάτου Λέοντος υἱόν, ἐν πατρικίοις τελοῦντα,
Kouropalates Leo son among patrikioi being
καὶ τὴν τοῦ Δουκὸς ἀξίαν ὑπεζωσμένον, κἂν τοῖς τῆς
and the of-the Doux dignity having-girded-on and-in the —
Χαλδαίας ὁρίοις διατρίβοντα, τῆς ἀρχῆς παγανώσας,
of-Chaldia borders staying from-the office having-reduced-to-civilian
εἰς Ἀμάσειαν περιορίζει. ἱκανὴν οὖν ἐντεῦθεν ἀσφάλειαν
to Amaseia banishes sufficient then thence safety
ἑαυτῷ τε καὶ τοῖς πράγμασιν ἐπιβραβεύσας, καὶ ἅπαν
for-himself both and for-the affairs having-awarded and all
τὸ ὕποπτον τῆς πολιτείας ἀνακαθάρας, ἐν τοῖς βασιλείοις
the suspect of-the state having-cleansed in the palace

διέτριβε. πέμπτον καὶ τεσσαρακοστὸν ἔτος ἦν αὐτῷ τῆς
he-stayed fifth and fortieth year it-was for-him of-the
ἡλικίας, ὅτε τῆς βασιλείου ἐπέβη ἀρχῆς.
age when the imperial he-mounted rule

3 Τὴν δὲ ἰδέαν τοιόσδε ἦν· λευκὸς μὲν τὴν ὄψιν, καὶ
in-the and appearance such he-was white indeed in-the face and
εὔχρους, τὴν κόμην φέρων ξανθὴν καὶ ἀραιὰν ἐπὶ μέτωπον·
of-good-color the hair bearing blond and thin on forehead
ὀφθαλμοὶ τούτῳ ἀνδρώδεις καὶ χαρωποί· ῥὶς λεπτή τε
eyes for-him manly and bright nose fine both
καὶ σύμμετρος· γένυς ἡ ἄνωθεν πυρσή, καὶ εἰς πλαίσιον
and proportioned beard the from-above red and into a-frame
καθειμένη παρὰ τὸ μέτριον, ἡ δὲ κάτωθεν μεμετρημένη
let-down beyond the measure the and from-below measured
ὡς τὸ εἰκός, καὶ μήτι ἐνδεῶς ἔχουσα. τὴν δὲ ἡλικίαν
as the likely and not-at-all deficiently having in-the and stature
βραχύς τις ἦν, εἰ καὶ στέρνον εὐρὺ καὶ μετάφρενον
short a-certain he-was if even chest broad and back
εἶχε· γιγαντώδης δὲ τούτῳ ἐνῆν ἰσχύς, καὶ ταῖς χερσὶν
he-had gigantic but in-him was-in strength and in-the hands
εὐαγωγία, καὶ ἀλκή τις ἀνανταγώνιστος· ἡρωϊκὴ γὰρ
dexterity and might a-certain irresistible heroic for
αὐτῷ ἀνεκέκρατο, ἀδεής τε καὶ ἀκατάπληκτος, ἐν οὕτω
in-him was-blended fearless both and undaunted in so
βραχεῖ σώματι ἀποδεδειγμένη τόλμαν ὑπερφυῆ. ἐς ὅλην
short body displayed daring extraordinary against whole
γὰρ ἀντίπαλον φάλαγγα οὐκ ἀπεδειλία μόνος ὁρμᾷν,
for opposing phalanx not he-shrank alone to-rush
πλείστους τε κατακταίνων, ἀπτερώτῳ τάχει πρὸς τὸν
very-many both slaying with-wingless speed to the
οἰκεῖον αὖθις συνασπισμὸν διανέκαμπτε, κακῶν ἀπαθής· ἐν
own again close-order he-turned-back of-harms unsuffering in

ἅλματι δέ, καὶ σφαιρισμοῖς, καὶ ἀκοντισμοῖς, καὶ τόξων
leaping and also ball-games and javelin-throwings and bows'
ἐντάσεσι καὶ βολαῖς, πάντων κατηυμεγέθει τῶν κατὰ
stretchings and shots of-all he-surpassed of-those in
τὴν αὐτὴν γενεάν. λέγεται, ὡς κέλητας ἵππους τέτταρας
the same generation it-is-said that racing horses four
στοιχηδὸν ἱστάς, ἐκ τοῦ θατέρου μέρους καθαλλόμενος,
in-a-row setting from the one side leaping-down
ἐπὶ τὸν πύματον ὥς τις πτηνὸς ἐφίζανε. βέλος τε ἀφιεὶς
on the last like some bird he-alighted missile both letting-fly
οὕτω κατεστοχάζετο τοῦ σκοποῦ, ὡς διὰ δακτυλίου
so he-aimed-at the mark that through ring's
ὀπῆς ἰέναι ἀπευθύνειν αὐτό· τοσοῦτον ὑπερέβαλλε καὶ τὸν
hole to-go to-direct it so-much he-surpassed also the
παρ᾽ Ὁμήρου μεγαλαυχούμενον νησιώτην, τὸν διὰ τῶν
by Homer much-boasted islander the(-one) through the
πελέκεων τὸν ὀϊστὸν διευθύναντα. σφαῖράν τε ἐκ σκύτους
axes the arrow having-directed ball both from leather
κατειργασμένην ὑελίνου σκύφους ἐν τῷ πυθμένι ἐπιτιθείς,
made of-glass cup on the bottom placing
μύωπί τε τὸν ἵππον κεντρίζων καὶ τὸν δρόμον ἐπιταχύνων,
with-spur both the horse goading and the course quickening
ῥάβδῳ παίων τὴν σφαῖραν, αὐτὴν μὲν ἀναθρώσκειν καὶ
with-a-rod striking the ball it indeed to-leap-up and
πέτασθαι κατειργάζετο· τὸ δὲ δὴ σκύφος ἀμετακίνητον
to-fly he-made the and indeed cup unmoved
καὶ ἄθραυστον κατὰ χώραν μένειν ἐλίμπανε. μεγαλόδωρός
and unbroken in place to-remain he-left generous
τε καὶ φιλοδωρότατος παρὰ πάντας ἦν· οὐδεὶς γὰρ
both and most-gift-loving beyond all he-was no-one for
αὐτὸν αἰτησάμενος τῶν ἐλπίδων κενὸς ἀπηλλάττετο. πᾶσι
him having-asked of-the hopes empty went-away to-all

δὲ φιλαγάθως καὶ ἱλαρῶς ἐφιλανθρωπεύετο, προφητικῶς
and kindly and cheerfully he-showed-humanity prophetically
τὸ ἔλαιον τῆς εὐποιΐας κιχρῶν· καὶ εἰ μὴ Βασίλειος ὁ
the oil of-the beneficence lending and if not Basil the
παρακοιμώμενος αὐτὸν ἐπεῖχε τῆς ἀπλήστου περὶ τὸ
parakoimomenos him had-checked from-the insatiable for the
εὐεργετεῖν τοὺς ὁμοφύλους ῥοπῆς, κἂν τοὺς βασιλικοὺς
to-benefit the kinsmen inclination even the imperial
θησαυροὺς εἰς τὴν τῶν δεομένων διανομὴν θᾶττον
treasuries into the of-the needy distribution quickly
συνεξεφόρησεν. ἐλάττωμα δὲ Ἰωάννῃ τοῦτο προσῆν, ὅτι
he-would-have-carried-out defect and to-John this was-attached that
τε περὶ πότους ἔστιν ὅτε παρὰ τὸ προσῆκον ἐκώμαζε,
both about drinkings there-is when beyond the fitting he-reveled
καὶ περὶ τὰς τοῦ σώματος ἡδονὰς διεπτόητο.
and about the of-the body pleasures he-was-excited

4 Ἀλλ᾽ οὕτω μὲν ἐν ἡμέραις ἑπτὰ τὰ τῆς πολιτείας
but so indeed in days seven the(-affairs) of-the state
διοικησάμενος, καὶ τὴν ἀρχὴν ἑαυτῷ κρατυνάμενος, καὶ
having-administered and the rule for-himself having-strengthened and
ὡς οὐκ ἄν τις ᾠήθη ποτὲ (ἐν γὰρ ταῖς μεγίσταις
as not — anyone would-have-thought ever in for the greatest
τῶν πραγμάτων μεταβολαῖς, πολλῆς, ὡς εἰκός, στάσεως
of-the affairs changes much as likely riot
ἀναῤῥιπιζομένης καὶ ταραχῆς, τότε, οὐκ οἶδ᾽ ὅπως,
being-fanned and tumult then not I-know how
παρατυχὸν εὐκοσμία τις καὶ βαθεῖα σιγὴ τὸν δῆμον
by-chance good-order a-certain and deep silence the people
κατέσχε, τοῦ αὐτοκράτορος Νικηφόρου ἀναιρεθέντος, καί
held of-the emperor Nikephoros having-been-killed and
τινος ἑνὸς τῶν ὑπασπιστῶν ἑτέρου μηδενὸς κἂν ἐπὶ κόῤῥης
some one of-the shield-bearers another nobody even on cheek

εἰληφότος κόνδυλον), ἐς τὸν θεῖον καὶ μέγαν τῆς τοῦ Θεοῦ
having-received blow into the divine and great of-the — of-God
Σοφίας σηκὸν εἰσφοιτᾷ, ὡς πρὸς τοῦ πατριάρχου κατὰ
Wisdom precinct he-goes as by the patriarch according-to
τὸ εἰθισμένον τῷ βασιλείῳ διαδήματι ταινιωθησόμενος.
the custom with-the imperial diadem going-to-be-crowned
εἴθισται γὰρ τοὺς νέον τῆς Ῥωμαϊκῆς ἡγεμονίας
it-is-customary for those newly the Roman rule
προσεπιβαίνοντας ἐπί τε τὸν ἄμβωνα τοῦ νεὼ ἀνιέναι,
mounting onto both the ambo of-the temple to-go-up
καὶ πρὸς τοῦ κατὰ καιροὺς ἱεράρχου εὐλογεῖσθαί τε, καὶ
and by the at times high-priest to-be-blessed both and
τῷ βασιλείῳ στέφει ταινιοῦσθαι τὴν κεφαλήν. ὁ δὲ
with-the imperial crown to-be-crowned the head — and
Πολύευκτος τὸν τῆς πατριαρχίας τότε θρόνον κατεῖχε. θεῖός
Polyeuktos the of-the patriarchate then throne held divine
τέ τις ὢν καὶ ζέων τῷ πνεύματι, εἰ καὶ τὴν ἡλικίαν
both a-certain being and boiling in-the spirit if even in-the age
ἔξωρος ἦν, μὴ ἐξεῖναί οἱ ἐδήλου τῷ βασιλεῖ
beyond-season he-was not to-be-permitted for-him he-showed to-the emperor
ἐς τὸ ἱερὸν εἰσελαύνειν, πρὶν ἂν τὴν Αὐγοῦσταν τῶν
into the temple to-drive-in before — the Augusta from-the
βασιλείων ἐξαγάγῃ, καὶ τὸν ἀναιρέτην τοῦ αὐτοκράτορος
palace he-should-lead-out and the killer of-the emperor
Νικηφόρου, ὅσπερ ἂν εἴη, καθυποδείξῃ· καὶ προσέτι τὸν
Nikephoros whoever — he-might-be he-should-point-out and besides the
τόμον τῇ συνόδῳ προσαποτίσῃ, ὃν ὁ Νικηφόρος παρὰ
tome to-the synod should-repay which — Nikephoros against
τὸ εἰκὸς ἐνεώχμωσεν. ὁ γὰρ Νικηφόρος, εἴτε τὰ θεῖα
the fitting innovated — for Nikephoros whether the divine(-things)
πρός τινων τῶν ἱερέων κινούμενα βουλόμενος διορθοῦν,
by some of-the priests being-disturbed wishing to-set-right

ὡς ᾤετο, εἴτε κατεξουσιάζειν καὶ τῶν ἱερῶν, ὅπερ
as he-thought or to-domineer also over-the sacred(-things) which
ἔκσπονδον ἦν, τόμον σχεδιάσαι τοὺς ἱεράρχας κατεβιάσατο,
truce-breaking was tome to-draft the high-priests compelled
μήτι τῶν ἐκκλησιαστικῶν πραγμάτων ἐκτὸς τῆς ἐκείνου
nothing of-the ecclesiastical affairs apart-from the his
ῥοπῆς ἐνεργεῖν. ταῦτα μὲν ὁ Πολύευκτος τῷ βασιλεῖ
inclination to-take-effect these-things indeed — Polyeuktos to-the emperor
ποιεῖν εἰσηγεῖτο· ἄλλως γὰρ οὐχ οἷόν τε ἐξεῖναι αὐτῷ
to-do proposed otherwise for not possible — to-be-permitted for-him
ἐς τὰ θεῖα εἰσιτητέον ἀνάκτορα. ὁ δέ, τὴν τοιαύτην φάσιν
into the divine must-be-entered palace he and the such statement
δεξάμενος, τήν τε Αὐγοῦσταν τῶν ἀνακτόρων κατήγαγε,
having-received the both Augusta from-the palace brought-down
καὶ κατὰ τὴν νῆσον τὴν λεγομένην Πρώτην περιώρισε,
and to the island the called Prote banished
τόν τε τοῦ Νικηφόρου τόμον τῇ συνόδῳ ἐπέδωκε, καὶ
the both — of-Nikephoros tome to-the synod gave-up and
Λέοντα τὸν Βαλάντην καθυπεδείκνυεν, αὐτόχειρα τοῦ
Leo — Balantes pointed-out self-handed-killer —
Νικηφόρου καὶ αὐθέντην πεφηνέναι τοῦτον, οὐκ ἄλλον,
of-Nikephoros and murderer to-have-been-shown this-one not another
ἰσχυριζόμενος. οὕτως εἰς τὸν θεῖον σηκὸν ὁ Ἰωάννης
asserting thus into the divine precinct — John
παραδεχθείς, καὶ πρὸς τοῦ Πολυεύκτου στεφθείς, ἐς
having-been-admitted and by — Polyeuktos crowned to
τὴν βασίλειον ἑστίαν παλινοστεῖ, παρὰ παντὸς τοῦ τε
the imperial hearth returns by all the both
στρατιωτικοῦ πλήθους καὶ τοῦ δημοτικοῦ εὐφημούμενος.
military multitude and the popular acclaimed

John gives away his patrimony to farmers and to a hospital for lepers, whose sores he tends himself. Theodore of Koloneia, a monk who had foretold his reign, becomes patriarch of Antioch; Polyeuktos dies, and John installs the hermit Basil of Olympus as patriarch. He relieves a three-year famine and checks the Arabs at Antioch. Leo recounts how the Mysians came into Europe. Sphendosthlavos, who has impaled twenty thousand at Philippopolis, demands a ransom or Rome's withdrawal to Asia; John reminds him of his father Ingor's fate, and the prince threatens to pitch his tents before the gates of Byzantium.

Ἐντεῦθεν ἐκεχειρίας μικρᾶς καὶ ῥᾳστώνης δραξάμενος, τὴν
thereupon respite small and ease having-grasped the
προσοῦσαν αὐτῷ κτῆσιν ἀνέκαθεν δίχα διαιρήσας· πολλὴ
belonging to-him property from-of-old in-two having-divided much
δέ τις ἦν ἔκ τε τῶν προγόνων αὐτῷ καταλειφθεῖσα
and a-certain was from both the ancestors to-him left
(λαμπροτάτου γὰρ γένους ὁ Ἰωάννης κατήγετο, πρὸς μὲν
most-brilliant for family — John descended on indeed
πατρὸς εὐγενὴς τῶν ἀφ' ἡλίου ἀνατολῶν, ἐκ δὲ μητρὸς
father's(-side) noble of-those from sun's risings from and mother's(-side)
ἀνεψιὸς Νικηφόρου τοῦ αὐτοκράτορος), καὶ ἐκ τῶν
cousin of-Nikephoros the emperor and from the
βασιλικῶν δωρεῶν, ἣν διὰ τὰ ἐν πολέμοις αὐτοῦ τρόπαια
imperial gifts which because-of the in wars his trophies
φιλοτίμως ἀπεφέρετο· τὴν μὲν τοῖς ὁμόροις καὶ ἀγχιτέρμοσι
lavishly he-carried-off the indeed to-the neighboring and adjoining
γεωργοῖς ἀφῆκε διανείμασθαι· τὴν δὲ τῷ καταντιπέρας
farmers he-let to-divide the and to-the opposite
Βυζαντίου τῶν λελωβημένων νοσοκομείῳ ἠφώρισε,
of-Byzantium of-the maimed hospital he-assigned
προσεπιδομήσας τοῖς παλαιοῖς δόμοις τῶν τῇ ἱερᾷ
having-built-on to-the old buildings of-those with-the sacred

νόσῳ καμνόντων καὶ ἑτέρας οἰκίας. καὶ τούτων τὸν ἀριθμὸν
disease suffering also other houses and of-these the number
πολυπλασιάσας, ἀνιών τε καὶ ὡς αὐτοὺς παραγινόμενος,
having-multiplied going-up both and to them coming
διένεμέ τε τούτοις χρυσόν, καὶ τὰ ἡλκωμένα καὶ τῇ νόσῳ
he-distributed both to-them gold and the ulcerated and by-the disease
κατειργασμένα τούτων μέλη οὐκ ἀπηξίου θεραπεύειν κατὰ
wrought their limbs not he-disdained to-tend according-to
τὸ ἐνόν, καίτοι ἁβρότατος ὢν καὶ λίαν φιλόκαλος. τοσοῦτον
the possible although most-delicate being and very elegant so-much
εἶχε τὸ φίλοικτόν τε καὶ συμπαθὲς πρὸς τὸ κάμνον τῆς
he-had the compassion both and sympathy toward the suffering of-the
φύσεως, παρὰ φαῦλον, ὅτε πως τούτοις ἀπήντα, τόν τε τῆς
nature at naught when somehow them he-met the both of-the
βασιλείας ὄγκον καὶ τὸν ἐκ τῆς ἁλουργίδος ἀποτικτόμενον
empire bulk and the from the purple begotten
τῦφον τιθείς. φόρων τε ἀτέλειαν τῷ τῶν Ἀρμενιακῶν
pride setting of-tributes both exemption to-the of-the Armeniakoi
θέματι παρέσχεν· ἐκεῖθεν γὰρ ὥρμητο. τῆς δὲ ῥόγας
theme he-granted from-there for he-came the and stipend
ἐνστάσης, ἣν ἥ τε σύγκλητος καὶ τὸ τῆς πολιτείας εὐγενὲς
being-due which the both senate and the of-the state noble
καὶ ἐλλόγιμον παρὰ τῆς βασιλικῆς χειρὸς ἀποφέρεται, πᾶσι
and eminent from the imperial hand carries-off to-all
τοῖς ἠξιωμένοις ταυτησὶ τῆς δωρεᾶς, προῖκα τὴν ῥόγαν
those deemed-worthy of-this-here the gift as-a-gift the stipend
ἐπηύξησε, φιλοτίμῳ καὶ φιλαγάθῳ γνώμῃ κινούμενος.
he-increased with-lavish and generous mind being-moved

6 Ἤδη δὲ τῆς πρὸς Ὀρόντῃ μεγάλης Ἀντιοχείας πρὸς τοῦ
already and the on Orontes great Antioch by the
αὐτοκράτορος Νικηφόρου ἁλούσης, καὶ τοῦ ἱεραρχοῦντος
emperor Nikephoros having-been-taken and of-the high-priest

χηρευούσης (ὁ γὰρ τὸ πρότερον κατάρχων ταύτης Ἀγαρηνὸς
being-widowed the for the before ruling it Hagarene
τὸν πατριάρχην Χριστοφόρον, ἀποστολικὸν ἄνδρα τε καὶ
the patriarch Christopher apostolic a-man both and
θεσπέσιον, ἀνεῖλεν, ἀκόντιον κατὰ τῶν στέρνων αὐτοῦ
divine killed javelin against the chest his
διελάσας, ἔγκλημα τἀνδρὶ εἰς τὸν σωτῆρα Χριστὸν
having-driven charge on-the-man toward the Savior Christ
ἐπάγων εὐσέβειαν), ταύτης τὸν συνοικισμὸν προὐργιαίτερον
bringing piety of-it the resettlement more-important
ὁ βασιλεὺς Ἰωάννης ποιούμενος, διὰ σπουδῆς εἶχε καὶ
the emperor John making through zeal he-had and
πολὺς ἦν ἐγκείμενος, τῆς ἱεραρχίας ταύτης τὸν ἄξιον
much he-was pressing of-the high-priesthood of-it the worthy(-man)
εὑρεῖν. ἀλύοντι δὲ τούτῳ καὶ γνωματεύοντι, ἐπὶ νοῦν
to-find fretting and to-this-one and deliberating to mind
ἦλθεν ὁ ἐκ Κολωνείας Θεόδωρος, ἀνὴρ ἐξ ὀνύχων τὸν
came the from Koloneia Theodore a-man from nails the
ἐρημικὸν καὶ ἀπράγμονα βίον αἱρετισάμενος, καὶ πολλοῖς
solitary and unbusy life having-chosen and with-many
ἱδρῶσιν ἀσκητικοῖς τὸ σαρκίον καταδαμάσας. τρίχινον
sweats ascetic the flesh having-subdued hairy
γὰρ ῥάκος ἐνδιδυσκόμενος, καὶ τούτῳ περικαλύπτων τὸν
for rag putting-on and with-this covering-over the
σίδηρον, ὃν ἔφερε τυραννῶν τὸ σωμάτιον, οὐ πρότερον
iron which he-wore tyrannizing the poor-body not before
αὐτὸ ἀπεσκευάζετο, πρὶν ἂν διερρύη τε ὅλον, καὶ εἰς οὐδὲν
it he-put-off until — rotted-away both whole and to nothing
ἐχρημάτιζε. λέγεται δέ, τὸν τοιοῦτον μοναστὴν Νικηφόρῳ τε
came it-is-said and the such monk to-Nikephoros both
πρότερον, καὶ αὖθις Ἰωάννῃ, τὴν τῆς βασιλείας θεοκλυτῆσαι
earlier and again to-John the of-the empire to-have-prophesied

ἀνάῤῥησιν. τοῦτον τῷ Βυζαντίῳ τότε παρουσιάζοντα ὁ
proclamation this-one — in-Byzantium then being-present —
Ἰωάννης προσάγει τῷ Πολυεύκτῳ· ὁ δέ, ἅμα τοῖς
John brings — to-Polyeuktos he and together-with the
ἐνδημοῦσι τῶν ἐπισκόπων τὸν ἄνδρα ἐξητακώς, ἐφευρών τε
resident of-the bishops the man having-examined having-found both
τὴν μὲν θύραθεν παιδείαν οὐ πάνυ ἠκριβωκότα, τήν γε μὴν
the indeed outside learning not quite having-mastered the at-least but
θείαν καὶ ἡμετέραν ἐξησκημένον φιλοτιμότατα, χρίει αὐτὸν
divine and ours having-practiced most-zealously anoints him
πατριάρχην Ἀντιοχείας. ὁ δὲ Πολύευκτος, μικρὰς ἡμέρας
patriarch of-Antioch — and Polyeuktos few days
ἐπιβιοὺς μετὰ τὴν Θεοδώρου προχείρισιν, μεταλλάττει
having-survived after the of-Theodore appointment exchanges
τὸν βίον, μνημεῖα τῇ ἐκκλησίᾳ καταλιπὼν τὰς τῶν
the life memorials to-the church having-left the of-the
ἀρετῶν εἰκόνας, καὶ τὴν γνῶσιν τῆς θείας καὶ ἀνθρωπίνης
virtues images and the knowledge of-the divine and human
σοφίας καὶ ἐπιστήμης, ἣν εἰς ἄκρον ἐξήσκησε. τοῦ δὲ
wisdom and science which to height he-practiced — and
Πολυεύκτου ἐπὶ τρισκαίδεκα ἐνιαυτοὺς τὰς τῆς πατριαρχίας
of-Polyeuktos for thirteen years the of-the patriarchate
ἡνίας ἰθύναντος, καὶ πρὸς τὴν μακαρίαν μεταναστάντος
reins having-directed and to the blessed having-departed
κατάπαυσιν, σπουδὴ ἐξεγένετο τῷ αὐτοκράτορι Ἰωάννῃ,
rest zeal arose for-the emperor John
εἰς τὸν τῆς ἱεραρχίας θρόνον ἄνδρα ἐπιβιβάσαι τὸν
into the of-the high-priesthood throne a-man to-raise the
ἀρεταῖς καὶ τρόποις τῶν πολλῶν ὑπερφέροντα. τῇ
in-virtues and in-manners than-the many surpassing on-the

γοῦν ὑστεραίᾳ ἐς τὴν βασίλειον αὐλὴν τοὺς ἱεράρχας
at-any-rate next-day into the imperial court the high-priests
εἰσκαλεσάμενος καὶ τὴν σύγκλητον, ἔφησε τοιαῦτα·
having-called-in and the senate be-said such-things
"Μίαν ἀρχὴν ἐξεπίσταμαι, τὴν ἀνωτάτην καὶ πρώτην, ἥτις 7
one authority I-know the highest and first which
ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι τὸ τοῦ ὁρατοῦ καὶ ἀοράτου
from the not being into the to-be the of-the visible and invisible
κόσμου παρήγαγε σύστημα. δύο δὲ τὰς ἐν τῷδε τῷ βίῳ
world brought-forth system two and the in this-here the life
γινώσκω καὶ τῇ κάτω περιφορᾷ, ἱερωσύνην καὶ βασιλείαν,
I-know and the below revolution priesthood and empire
ὧν τῇ μὲν τὴν τῶν ψυχῶν ἐπιμέλειαν, τῇ δὲ
of-which to-the(-one) indeed the of-the souls care to-the(-other) and
τὴν τῶν σωμάτων κυβέρνησιν ἐνεχείρισεν ὁ δημιουργός,
the of-the bodies government entrusted the craftsman
ὡς ἂν μὴ τούτων χωλεύσοιτο μέρος, ἄρτιόν τε καὶ
so-that — not of-these should-be-lamed part sound both and
ὁλόκληρον διασώζοιτο. τοίνυν, ἐπεὶ τὸ χρεὼν ὁ τὴν
whole should-be-preserved therefore since the debt the the
ἐκκλησίαν ἰθύνων ἐξέτισεν, ἔργον μὲν τούτου τοῦ ἀλαθήτου
church directing has-paid work indeed of-this the unescapable
πέφυκεν ὀφθαλμοῦ, τὸν κατευμεγεθοῦντα πάντων εἰς τὴν
is eye the(-one) surpassing all into the
λειτουργίαν τῶν θείων παραγαγεῖν, ᾧ καὶ πρὸ τοῦ
service of-the divine(-things) to-bring-forward by-which even before the
πλασθῆναι τὰ ἐπιτηδεύματα τῶν ἀνθρώπων διέγνωσται.
to-be-formed the practices of-the men have-been-discerned
αὐτὸς δέ, οὗ πεῖραν ἀνδρὸς ἀναμφίλεκτον ἐκ τοῦ μακροῦ
I-myself and of-whom trial of-a-man indisputable from the long
χρόνου παρείληφα, τοῦτον ἐπὶ τῶν θώκων ἀναβιβάζω
time I-have-received this-one onto the thrones I-raise

τῶν ἐκκλησιαστικῶν· ὡς μὴ λάθοι κατὰ γωνίαν
of-the ecclesiastical so-that not he-should-escape-notice in corner
τὸν βίον διηντληκὼς ἄνθρωπος παντοδαποῖς προτερήμασι
the life having-drained-out a-man with-every-kind excellences
κλεϊζόμενος, ᾧ γε καὶ τὸ προορατικὸν ἐκ Θεοῦ
being-famed to-whom at-least also the foreseeing from God
δεδώρηται χάρισμα. πολλὰ γάρ μοι τῶν μελλόντων ἀνεῖλε
has-been-given gift many for to-me of-the future(-things) he-foretold
θείᾳ ὀμφῇ, ἐκβάντα ἐν τοῖς καιροῖς αὐτῶν." εἶπεν
by-divine voice having-come-to-pass in the times their spoke
ὁ βασιλεύς, καὶ εἰς μέσον παρήγαγε τὸν ἀναχωρητὴν
the emperor and into middle brought-forward the anchorite
Βασίλειον, ὃς ἐξ ὀνύχων τὸν μονήρη βίον αἱρετισάμενος,
Basil who from nails the monastic life having-chosen
συχνοὺς ἀγῶνας ἱδρώτων ἀσκητικῶν ἐν ταῖς τοῦ Ὀλύμπου
many contests of-sweats ascetic in the of-the Olympus
ἀκρωρείαις ἐπεδείξατο. τοῦτον ἐς τὴν πατριαρχικὴν ἑστίαν
ridges displayed him to the patriarchal hearth
ἀνιέναι παρεκελεύσατο· τῇ δὲ ἐπιούσῃ (αὕτη δὲ ἦν
to-go-up ordered on-the and following this and was
ἀναστάσιμος ἡμέρα, καθ' ἣν τὴν ὀρθόδοξον πίστιν περὶ
resurrection day on which the orthodox faith about
τῆς τῶν σεπτῶν εἰκόνων προσκυνήσεως οἱ θεῖοι πατέρες
the of-the august icons veneration the divine fathers
ἐκράτυναν) τὸ τῆς ἀρχιερωσύνης ὁ Βασίλειος χρίσμα
confirmed the of-the high-priesthood — Basil chrism
δέχεται, καὶ οἰκουμενικὸς πατριάρχης ἀνακηρύττεται.
receives and ecumenical patriarch is-proclaimed

8 Ἰωάννῃ δὲ τῷ αὐτοκράτορι πολλαῖς ταῖς φροντίσιν
to-John and the emperor by-many the cares
ἐταλαντεύετο ἡ διάνοια, ποίᾳ δὴ προτέρᾳ δοίη
was-swayed the mind to-which indeed first he-should-give

τὴν ῥοπὴν ἐν τριόδῳ ἀπειλημμένος, καὶ μὴ παρενεχθείη
the weight at a-crossroads caught and not should-be-led-astray
τοῦ δέοντος. ἥ τε γὰρ σπάνις τῶν ἀναγκαίων καὶ ὁ
from-the needful the both for lack of-the necessities and the
λιμὸς ἐκβαθύνας, ἐπὶ τριετῆ καιρὸν τὴν Ῥωμαϊκὴν ἀρχὴν
famine having-deepened for three-year time the Roman rule
ἐπεβόσκετο· ἐπέκειτο δὲ καὶ ἡ Ῥωσσικὴ κίνησις οὐ χρηστὰς
fed-upon pressed and also the Rus movement not good
ὑποτιθεμένη ἐλπίδας, καὶ ἡ τῶν Καρχηδονίων καὶ Ἀράβων
suggesting hopes and the of-the Carthaginians and Arabs
κατὰ τῆς ἐπὶ Συρίαν Ἀντιοχείας, ἄρτι προσκτηθείσης
against the in Syria Antioch just acquired
Ῥωμαίοις, καταδρομή. τὸ μὲν οὖν ἄμαχον κακὸν τοῦ λιμοῦ
by-Romans raid the indeed then unconquerable evil of-the famine
τῇ σιταγωγίᾳ, ἣν ἐκ τῶν ἁπανταχῆ ἐμπορίων προνοίᾳ
by-the grain-transport which from the everywhere markets by-providence
διὰ τάχους συνήγαγε, διέλυσε, στήσας τὴν νομὴν τοῦ
through speed he-gathered he-dissolved having-stopped the spreading of-the
τοσούτου δεινοῦ. τὴν δέ γε ὁρμὴν τῶν Ἀγαρηνῶν
so-great dread the and at-least rush of-the Hagarenes
τῇ τῶν Ἑῴων στρατευμάτων παρατάξει ἀνεχαίτισε,
by-the of-the Eastern armies array he-checked
Νικολάου τοῦ Πατρικίου στρατηγοῦντος· ὅστε οἰκεῖος ὢν
Nicholas the Patrikios commanding who intimate being
σπάδων τῷ βασιλεῖ, ἐμπειρίαν ἐκ πολλῆς μελέτης τῶν
eunuch to-the emperor experience from much practice of-the
ἀγώνων ἐκέκτητο. πρὸς μέντοι τὸν Σφενδοσλάβον, τὸν τῆς
contests had-acquired toward however — Sphendosthlavos the of-the
Ῥωσσικῆς πανοπλίας κατάρχοντα, ἔγνω διακηρυκεύεσθαι.
Rus full-army ruling he-resolved to-negotiate
καὶ δὴ πρέσβεις ὡς αὐτὸν ἐκπέμπει, παραγγέλλων αὐτῷ,
and indeed envoys to him sends instructing to-him

τὸν πρὸς τοῦ αὐτοκράτορος Νικηφόρου ἐπὶ τῇ καταδρομῇ
the by the emperor Nikephoros for the raid
τῶν Μυσῶν ὑπεσχημένον ἀνειληφότα μισθόν, ἐπὶ τὰ
of-the Mysians promised having-received pay to the
σφῶν ἤθη καὶ τὸν Κιμμέριον μετανίστασθαι Βόσπορον,
their-own homes and the Cimmerian to-depart Bosporus
τὴν δὲ Μυσίαν παραλιπεῖν, Ῥωμαίοις προσήκουσαν, καὶ
— and Mysia to-leave to-Romans belonging and
ἀπόμοιραν τελοῦσαν Μακεδονίας ἀνέκαθεν. λέγεται γὰρ
portion being of-Macedonia from-of-old it-is-said for
Μυσοὺς ἀποίκους τῶν ὑπερβορέων Κοτράγων, Χαζάρων
Mysians colonists of-the hyperborean Kotragoi Khazars
τε καὶ Χουμάνων ὄντας, τῶν οἰκείων μεταστῆναι ἠθῶν·
both and Khoumanoi being from-the own to-have-moved homes
ἀλωμένους δὲ κατὰ τὴν Εὐρώπην, ταύτην κατειληφέναι καὶ
wandering and over — Europe this to-have-seized and
κατοικῆσαι, Κωνσταντίνου, ᾧ Πωγωνάτος ἐπίκλησις,
to-have-settled Constantine to-whom Pogonatos surname
τότε Ῥωμαίων ἡγεμονεύοντος· ὁμωνύμως δὲ τὴν χώραν
then Romans ruling by-the-same-name and the land
ἀπὸ Βουλγάρου (τοῦ σφῶν φυλάρχου) Βουλγαρίαν καλέσαι.
from Boulgaros the their phylarch Bulgaria to-have-called
9 Ἄιδεται καὶ ἕτερος περὶ τούτων λόγος, ὧδέ πη
is-sung also another about these account thus somehow
ἔχων· Ἰουστινιανοῦ, τοῦ Ῥωμαίων αὐτοκράτορος, ὑπὸ
having of-Justinian the of-Romans emperor by
Λεοντίου ἐκτμηθέντος τὴν ῥῖνα καὶ κατὰ τὴν Χερσῶνα
Leontios having-been-cut the nose and in — Cherson
περιορισθέντος, ἐπείπερ ἐκεῖθεν αὐτῷ διαδράναι πολυτρόπως
having-been-banished since from-there to-him to-escape in-many-ways
ἐγένετο, ἐς τὴν Μαιῶτίν τε ἀφικέσθαι, καὶ τὸ Μυσῶν
it-happened into the Maeotis both to-have-come and the of-Mysians

ἔθνος προσεταιρίσασθαι, ἐφ᾽ ᾧ, τήν τε βασιλείαν αὐτῷ
nation to-have-made-companion on condition the both empire for-himself
ἀνασώσασθαι, καὶ μισθοὺς μεγάλους ἐναπολήψεσθαι. τοὺς
to-recover and pay great to-take-in-return them
δὲ ἕψεσθαί τε αὐτῷ, καὶ πρὸς αὐτοῦ, τῆς βασιλείας αὖθις
and to-follow both him and by him the empire again
ἐπειλημμένου, εἰληφέναι τὴν χώραν, ὅσην ὁ Ἴστρος
having-laid-hold-of to-have-received the land as-much-as the Ister
ἐντὸς Μακεδόνων περιορίζει· καὶ τὴν μετοίκησιν ταύτῃ
within Macedonians bounds and the resettlement there
ποιήσασθαι, καὶ πολλὰ πολέμων ἔργα καὶ ἀνδραποδισμῶν
to-have-made and many of-wars works and enslavements
προξενῆσαι Ῥωμαίοις, πολεμησείοντας ἀεί, καὶ τὰ Θρᾳκῷα
to-have-caused for-Romans being-eager-for-war always and — Thracian
κατατρέχοντας κλίματα. Ῥωμαίους δὲ ἀντεπιέναι τούτοις·
overrunning regions Romans and to-attack-in-return them
τοὺς δὲ τὴν ἐκείνων οὐχ ὑφισταμένους ἀλκήν, ἐπ᾽ ἀμφιλαφῶν
they and the their not withstanding strength in thickly-wooded
χωρίων λόχμας καταδύεσθαι, καὶ ταῖς δυσχωρίαις τούτους
places' thickets to-dive-into and in-the rough-places them
καταγωνίζεσθαι. πολλῶν τοιγαροῦν ἐκ τοῦ κατ᾽ ἐκείνου
to-overcome many therefore from the at that
καιροῦ καταῤῥαγέντων πολέμων, καὶ γενναίων στρατηγῶν
time having-burst-out wars and noble generals
ὀλωλότων, Νικηφόρου τε, τοῦ παλαιτάτου αὐτοκράτορος,
having-perished Nikephoros both the most-ancient emperor
πεσόντος πρὸς τῶν Μυσῶν, παρὰ μόνου Κωνσταντίνου
having-fallen by the Mysians by only Constantine
λέγεται Κοπρωνύμου ἡσσηθῆναι Μυσούς, καὶ αὖθις παρὰ
it-is-said Kopronymos to-have-been-defeated Mysians and again by
τοῦ ἐγγόνου αὐτοῦ Κωνσταντίνου τοῦ τῆς Αὐγούστης Εἰρήνης
the grandson his Constantine the of-the Augusta Irene

υἱοῦ, καὶ τὰ νῦν δὲ πρὸς Ἰωάννου τοῦ αὐτοκράτορος, ὃς
son and the now and by John the emperor who
τὰς τῶν Μυσῶν πόλεις αἰχμῇ παρεστήσατο· οὐχ ἱστόρηται
the of-the Mysians cities by-spear brought-over not is-recorded
δέ τις Ῥωμαίων ἕτερος, τούτους ἐπὶ τῆς σφετέρας γῆς
and anyone of-Romans other them in the their-own land
καταγωνισάμενος. ἀλλὰ περὶ μὲν τούτων ἅλις.
having-overcome but about indeed these-things enough
10 Ὁ δὲ Σφενδοσλάβος, ταῖς κατὰ τῶν Μυσῶν νίκαις ἐπὶ
— *and Sphendosthlavos by-the against the Mysians victories to*
μέγα αἰρόμενος, καὶ τῇ βαρβαρικῇ αὐθαδείᾳ ὑπέροπλα
great raised and with-the barbarian arrogance overweeningly
βρενθυόμενος (ἤδη γὰρ τὴν χώραν βεβαίως ἐκέκτητο),
swaggering already for the land securely he-had-acquired
περιδεεῖς καὶ καταπλῆγας Μυσοὺς τῇ ἐμφύτῳ ἀπηνείᾳ
very-fearful and terror-struck Mysians by-the innate cruelty
κατεργασάμενος (φασὶ γὰρ τὴν Φιλίππου πόλιν τῷ
having-made they-say for the of-Philip city in-the
πολεμεῖν ἐξελών, δισμυρίους τῶν ἐν τῷ ἄστει ληφθέντων
fighting having-taken twenty-thousand of-those in the town taken
ὠμῶς καὶ ἀπανθρώπως ἀνασκολοπίσαι, καὶ ταύτῃ τὸ
cruelly and inhumanly to-have-impaled and thus the
ἀντίξουν ἅπαν ἐκδειματῶσαι καὶ θεῖναι ὑπόσπονδον),
opposing all to-have-terrified and to-have-made subject-by-treaty
ὑπεραύχους καὶ αὐθάδεις τὰς ἀποκρίσεις τοῖς πρέσβεσι
arrogant and self-willed the answers to-the envoys
Ῥωμαίων ἐξέφερε· “μὴ γὰρ ἀφέξεσθαι τῆς χώρας,
of-Romans he-delivered not for to-keep-off from-the land
εὐδαίμονος οὔσης, εἰ μὴ ἐπὶ χρημάτων πολυταλάντων
prosperous being if not on of-money of-many-talents
καταβολῇ, καὶ ἀπεμπολήσει τῶν τε πόλεων καὶ τῶν
payment and ransoming of-the both cities and of-the

ἀνδραπόδων, ὅσα τῷ πολεμεῖν ἐπεκτήσαντο. εἰ δ'
captives as-many-as by-the fighting they-had-acquired if but
οὐ βούλεσθαι Ῥωμαίους ταῦτα καταβαλεῖν, ἀλλὰ τῆς
not to-wish Romans these-things to-pay but —
Εὐρώπης θᾶττον ἀφίστασθαι, ὡς μὴ προσηκούσης αὐτοῖς,
from-Europe quickly to-withdraw as not belonging to-them
καὶ πρὸς τὴν Ἀσίαν μετασκευάζεσθαι· ἄλλως γὰρ μὴ
and to — Asia to-remove otherwise for not
οἴεσθαι, Ταυροσκύθας εἰς σπονδὰς Ῥωμαίων ξυμβήσεσθαι."
to-think Tauroscythians into treaty with-Romans to-come
Ἰωάννης δὲ ὁ αὐτοκράτωρ, τὰς τοιαύτας ἀποκρίσεις
John and the emperor the such answers
τοῦ Σκύθου δεξάμενος, καὶ αὖθις τοῖς προαπεσταλμένοις
of-the Scythian having-received and again by-the sent-before(-envoys)
ἀμείβεται τάδε· "τὴν ἐκ πατέρων ἐς ἡμᾶς διαβᾶσαν
replies these the from fathers to us having-come-down
εἰρήνην ἀλώβητον καθ' ἣν Θεὸς ἐμεσίτευσεν, οὐ δεῖν
peace unimpaired in which God mediated not it-is-needful
οἰόμεθα λύειν αὐτοί· ἅτε πρόνοιαν εἶναι πιστεύοντες τὴν
we-think to-dissolve ourselves as providence to-be believing the
τὸ πᾶν διευθύνουσαν, καὶ τὰ Χριστιανῶν πρεσβεύοντες
the all directing and the of-Christians honoring
ἔθιμα. διὰ ταῦτα εἰσηγούμεθά τε ὑμῖν ὡς φίλοις,
customs because-of these-things propose both to-you as friends
καὶ συμβουλεύομεν, ἐξαυτῆς ἀπαίρειν τῆς μηδέν τι
and counsel forthwith to-depart from-the nothing at-all
προσηκούσης χώρας ὑμῖν, καὶ μὴ διαμέλλειν, μηδ'
belonging land to-you and not to-delay nor
ἀναδύεσθαι, εἰδότας, ὡς εἰ μὴ καταπειθεῖς ταύτῃ τῇ
to-shrink-back knowing that if not obedient to-this the
ὀνησιφόρῳ ξυμβουλῇ γένοισθε, οὐχ ἡμᾶς, αὐτοὺς δέ,
beneficial counsel you-should-become not us yourselves but

λύειν τὰς ἀνέκαθεν συντεθείσας σπονδάς. καὶ μή γε
to-dissolve the from-of-old compacted treaties and not at-least
δόξωμεν μεγαλαύχους ταύτας τὰς ἀποκρίσεις ποιεῖν.
may-we-seem boastful these the answers to-make
ἐν Χριστῷ γὰρ θαῤῥοῦμεν τῷ ἀθανάτῳ Θεῷ, ὡς, εἰ
in Christ for we-trust in-the immortal God that if
μὴ τῆς χώρας ἀπέλθοιτε, καὶ ἄκοντες παρ᾽ ἡμῶν
not from-the land you-should-depart even unwilling by us
ταύτης ἀπελαθήσεσθε. οἶμαι γάρ σε μὴ λεληθέναι τὸ
from-it you-will-be-driven I-think for you not to-have-escaped the
τοῦ σοῦ πταῖσμα πατρὸς Ἴγγορος, ὅστε τὰς ἐνόρκους
of-the your disaster father's Ingor who the sworn
σπονδὰς παρὰ φαῦλον θέμενος, σὺν μεγάλῳ κινήματι καὶ
treaty at naught having-set with great movement and
μυρίοις σκάφεσι κατὰ τῆς βασιλευούσης ἐκπλεύσας, μόλις
countless boats against the reigning(-city) having-sailed-out barely
σὺν δέκα λέμβοις ἐς τὸν Κιμμέριον ἀφίκετο Βόσπορον,
with ten skiffs to the Cimmerian arrived Bosporus
αὐτάγγελος τῶν οἰκείων γεγονὼς συμφορῶν. καὶ παρίημι
self-messenger of-the own having-become misfortunes and I-pass-over
τὸν αὖθις οἴκτιστον μόρον ἐκείνου, παρὰ τοὺς Γερμανοὺς
the afterward most-pitiable fate his against the Germans
ἐκστρατεύσαντος, καὶ πρὸς ἐκείνων ληφθέντος, καὶ
having-campaigned and by them having-been-taken and
φυτῶν στελέχεσι προσδεθέντος, καὶ εἰς δύο διαμερισθέντος
of-trees to-the-trunks having-been-tied and into two having-been-divided
τμήματα. καὶ σὲ γοῦν οὐκ οἶμαι πρὸς τὴν σὴν
pieces and you at-any-rate not I-think to the your
ἐπαναζεῦξαι πατρίδα, εἴ γε τὴν Ῥωμαϊκὴν παντευχίαν
to-return fatherland if at-least the Roman full-armor
κατὰ σοῦ χωρεῖν ἀναγκάσειας, ἀλλ᾽ αὐτόθι διαφθαρήσεσθαι
against you to-go you-should-compel but there to-be-destroyed

πανσυδεί, ὡς μηδὲ πυρφόρον ἐς Σκυθίαν ἀφικέσθαι, τὰς
in-full-force so-that not-even fire-bearer to Scythia to-come the
κατασχούσας ὑμᾶς ἀπευκταίους ἀπαγγελοῦντα τύχας." ὁ δὲ
having-seized you abominable to-announce fortunes — and
Σφενδοσλάβος, ἐπὶ ταῖς τοιαύταις ἀποκρίσεσι σχετλιάσας,
Sphendosthlavos at the such answers having-been-indignant
τῇ τε βαρβαρικῇ μανίᾳ καὶ ἀπονοίᾳ παραφερόμενος,
by-the both barbarian madness and desperation carried-away
ἀντέλεξε τοιαῦτα· "οὐδεμίαν ἀνάγκην τὸν αὐτοκράτορα
answered such-things no necessity the emperor
Ῥωμαίων ὡς ἡμᾶς ἀφικέσθαι ὁρῶ κατεπείγουσαν· διὸ
of-Romans to us to-come I-see pressing therefore
μὴ κάμῃ, μέχρι τῆσδε τῆς γῆς ἀφικόμενος· αὐτοὶ γὰρ
not let-him-weary as-far-as this-here the land having-come ourselves for
ὅσον οὔπω πρὸ τῶν τοῦ Βυζαντίου πυλῶν πηξόμεθα τὰς
all but before the — of-Byzantium gates will-fix the
σκηνάς, καὶ καρτερὸν χάρακα ταύτῃ περιβαλοῦμεν, ἐξιόντα
tents and strong palisade there we-will-throw-around going-out
τε τοῦτον, εἴ γε καὶ καρτερήσει πρὸς τοσούτων πόνων
both him if at-least also he-will-endure for such toils
διαγωνίσασθαι, γενναίως ὑποδεξόμεθα, διδάξομέν τε τοῖς
to-fight-it-out nobly we-will-receive we-will-teach both by-the
ἔργοις αὐτοῖς, ὡς οὐ βάναυσοί τινες ἀποχειροβίωτοι, ἀλλ'
deeds themselves that not artisans some living-by-hand but
αἱμάτων ἄνδρες τυγχάνομεν, τοῖς ὅπλοις τὸ δυσμενὲς
of-blood men we-are with-the arms the hostile
καταγωνιζόμενοι· εἰ καὶ αὐτὸς ἐξ ἀγνοίας κατὰ τὰ
overcoming if even he-himself from ignorance like the
σκιατραφοῦντα γύναια τὴν Ῥωσσικὴν ἡγεῖται ἀλκήν, καί,
shade-reared women the of-Rus thinks strength and

ὥς τινα νήπια ὑπομάζια μορμολυκείοις τισί, ταύταις ταῖς
like some infants at-the-breast with-bugbears certain with-these the
ἀπειλαῖς ἡμᾶς πειρᾶται δεδίττεσθαι."
threats us he-tries to-frighten

XVII · BARDAS SKLEROS AGAINST THE RUS

John forms a guard of picked young men, the Immortals, and sends Bardas Skleros, brother of his late wife Maria, and the stratopedarch Peter, who once ran a Scythian champion through with his lance, to winter in the lands next to Mysia. The Rus send a force with Huns and Mysians against them. Bardas sends John Alakas to scout, draws up his men in three bodies with two in ambush, and engages more than thirty thousand with ten thousand. His brother Constantine cuts down a Scythian together with his horse; the ambush shakes the enemy, Bardas cleaves another to the belt, and they flee, over twenty thousand falling against fifty-five Romans. John brings the Asian armies to winter in Thrace and Macedonia.

11 Τούτων τῶν ἀπονενοημένων τοῦ ἐκεῖθεν λόγων ὁ
these the desperate of-the(-one) from-there words the
βασιλεὺς διενηχηθείς, ἔγνω, μὴ διαμέλλειν, ἀλλὰ πάσῃ
emperor having-heard resolved not to-delay but with-all
σπουδῇ τὰ ἐς τὸν πόλεμον ἐξαρτύεσθαι, ὡς ἂν
zeal the(-things) for the war to-prepare so-that —
προτερήσοι τὴν πρὸς ἐκεῖνον ἄφιξιν, ἐπιτειχίσοι τε τούτῳ
he-might-anticipate the to him arrival might-wall-against both him
τὴν κατὰ τῆς βασιλευούσης ἐπίθεσιν. εὐθὺς οὖν ἴλην
the against the reigning(-city) attack at-once then squadron
γενναίων καὶ νεανικῶν ἀνδρῶν ἐκλεξάμενος, ἀθανάτους
of-noble and youthful men having-chosen Immortals
τε τούτους κατονομάσας, περὶ αὑτὸν εἶναι διεκελεύσατο.
both them having-named about himself to-be he-ordered
ἐντεῦθεν τὸν Μάγιστρον Βάρδαν, ᾧ Σκληρὸς ἡ
thereupon the Magistros Bardas to-whom Skleros the

ἐπίκλησις, ὁμαίμονα τῆς ἀποιχομένης Μαρίας, τῆς τοῦ
surname brother of-the departed Maria the of-the
τοιούτου βασιλέως συνεύνου, τυγχάνοντα, δραστήριον ἄνδρα
such emperor wife being energetic a-man
καὶ τὴν ἀλκὴν γενναιότατον· καὶ τὸν Πατρίκιον Πέτρον,
and in-the strength most-noble and the Patrikios Peter
τὸν πρὸς τοῦ αὐτοκράτορος Νικηφόρου στρατοπεδάρχην
the(-one) by the emperor Nikephoros stratopedarch
προχειρισθέντα διά τε τὴν προσοῦσαν αὐτῷ ἀρετήν, καὶ
appointed because-of both the belonging to-him virtue and
τὰ κατὰ τοὺς πολέμους ἀνδραγαθήματα (λέγεται γάρ ποτε
the in the wars deeds-of-valor it-is-said for once
Σκυθῶν τὴν Θρᾴκην καταδραμόντων, ἐπεὶ ἐξ ἀντιπάλου
Scythians — Thrace having-overrun when from opposing(-side)
τὸν Πέτρον, καίτοι τομίαν ὄντα, μετὰ τοῦ συνεπομένου
— Peter although eunuch being with the following
στίφους ξυνέβαινεν αὐτοῖς ἀντιτάττεσθαι, τὸν τῶν Σκυθῶν
band it-happened for-them to-be-arrayed-against the of-the Scythians
ἀγόν, πελώριον ἄνδρα, καὶ ἐς τὸ ἀσφαλὲς τεθωρακισμένον,
leader huge man and to the secure armored
παρὰ τὸ μεταίχμιον ἐξιππάσασθαι, κοντὸν ἐπιμήκη
into the no-man's-land to-ride-out lance long
κραδαίνοντα, προσκαλεῖσθαί τε τὸν βεβουλημένον αὐτῷ
brandishing to-challenge both the(-one) wishing him
ἀντιτάττεσθαι· τὸν δὲ Πέτρον, ἀλκῆς καὶ μένους παρ'
to-face — and Peter of-strength and might beyond
ὑπόνοιαν ὑποπλησθέντα, τὸν ἵππον τε σφοδρῶς κεντρίσαι
φανέντες ἐφ' ἵππων ὀχούμενοι. ἄφιπποι γὰρ παρὰ τοὺς
appearing on horses riding without-horses for in the
πολέμους ἀεὶ χωρεῖν εἰώθεισαν, ἀνασκήτως ἔχοντες τῶν
wars always to-go were-accustomed unpracticed being of-the
ἐφιππίων ἐπιβαίνειν, καὶ τοῖς πολεμίοις ἀνταγωνίζεσθαι.
saddles to-mount and against-the enemies to-contend-against

Ῥωμαῖοι δέ, σπουδῇ τοῖς ὅπλοις φραξάμενοι καὶ τῶν
Romans and with-haste with-the arms having-fenced-themselves and the
ἵππων ἐπιβάντες, τούς τε κοντοὺς ἀνειληφότες (ἐπιμήκεις
horses having-mounted the and lances having-taken-up long
δὲ τούτους παρὰ τὰς μάχας μεταχειρίζονται), μετὰ ῥύμης
and these in the battles they-handle with force
καὶ βιαίου ὠθισμοῦ αὐτοῖς ἐπελαύνουσιν. οἱ δέ, μηδὲ
and violent thrusting them charge they and not-even
τοῖς ῥυτῆρσι τοὺς ἵππους χαλιναγωγεῖν ἐπιστάμενοι,
with-the reins the horses to-guide knowing
πρὸς τῶν Ῥωμαίων κατακοντιζόμενοι, νῶτα δόντες εἰς
by the Romans being-speared backs having-given into
τὸ τεῖχος κατεκλείοντο.
the wall were-shut-in

Τηνικαῦτα δὴ καὶ αἱ τῶν Ῥωμαίων πυρφόροι τριήρεις 2
at-that-time indeed also the of-the Romans fire-bearing triremes
μετὰ τῶν σιτηγῶν πορθμείων διὰ τοῦ Ἴστρου ἐφάνησαν
with the grain-carrying ferries through the Ister appeared
ἀναπλέουσαι· ἃς Ῥωμαῖοι μὲν ἰδόντες ἀῤῥήτου χαρμονῆς
sailing-up which Romans indeed having-seen with-unspeakable joy
ὑπεπλήσθησαν, Σκύθας δὲ δέος ᾕρει, τὸ ἐπιφερόμενον αὐτοῖς
were-filled Scythians and fear seized the brought-against them
ὑγρὸν πῦρ δεδιότας. ἠκηκόεισαν γὰρ πρὸς τῶν γεραιτέρων
liquid fire fearing they-had-heard for from the elders
τοῦ σφῶν ἔθνους, ὡς τὸν μυριόστολον στρατὸν Ἴγγορος,
of-the their-own people that the ten-thousand-ship host of-Ingor
τοῦ τὸν Σφενδοσθλάβον τεκόντος, Ῥωμαῖοι τῷ τοιούτῳ
the(-one) — Sphendosthlavos having-begotten Romans with-the such
Μηδικῷ πυρὶ κατὰ τὸν Εὔξεινον ἐξετέφρωσαν. ἐντεῦθεν
Median fire on the Euxine had-burned-to-ash thereupon
σπουδῇ τὰ ἑαυτῶν συναγαγόντες ἀκάτια, πρὸ τοῦ περιβόλου
with-haste the their-own having-gathered boats before the circuit-wall

τοῦ ἄστεος εἵλκυσαν, ἵνα παραῤῥέων ὁ Ἴστρος τὸ θάτερον
of-the town hauled where flowing-beside the Ister the other
τοῦ Δορυστόλου περικλύζει πλευρόν. ταῦτα αἱ πυρφόροι
— of-Dorystolon washes-around side these the fire-bearing
νῆες κυκλόθεν ἐφρούρουν, ὡς μὴ εἴη Σκύθαις ἐνόν,
ships all-around guarded so-that not it-might-be for-Scythians possible
αὐτῶν ἐπιβεβηκόσιν, ἐπὶ τὴν σφῶν ἀνασώζεσθαι γῆν. τῇ
them having-boarded to the their-own to-get-safe-back land on-the
δὲ ὑστεραίᾳ Ταυροσκύθαι, τοῦ ἄστεος ὑπεκδύντες, κατὰ
and next-day Tauroscythians from-the town having-slipped-out on
τὸ πεδίον ἐτάξαντο, ποδηνεκεῖς θυρεοὺς προβαλλόμενοι
the plain drew-up reaching-the-feet shields holding-before-them
καὶ θώρακας ἁλυσιδωτούς. Ῥωμαῖοι δὲ καὶ αὐτοὶ τοῦ
and corslets chain-linked Romans and also themselves from-the
χάρακος ὑπεξῄεσαν ἐς τὸ ἀκριβὲς τεθωρακισμένοι· καὶ
palisade came-out to the exact armored and
καρτερῶς ἄμφω τὰ μέρη διηγωνίζοντο, καὶ ἀμφίδοξος
stoutly both the sides fought-it-out and doubtful
ἡ νίκη ἐδόκει, ἄλλοτε θατέρου μέρους ὠθοῦντος.
the victory seemed at-another-time the-other side pushing
ἐπεὶ δέ τις Ῥωμαίων τῆς φάλαγγος ἀποῤῥαγεὶς
when and a-certain of-Romans from-the phalanx having-broken-off
τὸν μετὰ Σφενδοσθλάβον τρίτον παρὰ Ταυροσκύθαις
the after Sphendostblavos third among Tauroscythians
τιμώμενον Σφέγκελον, ἐκθύμως τότε διαγωνιζόμενον,
honored Sphengelos eagerly then contending
κατηκόντισεν, ἄνδρα γιγαντώδη καὶ νεανικόν· ἐπὶ τῷ
speared-down a-man giant-like and young at the
τούτου πτώματι διαταραχθέντες Ταυροσκύθαι βάδην τοῦ
his fall thrown-into-confusion Tauroscythians at-a-walk from-the
πεδίου ὑπενόστουν καὶ πρὸς τὸ ἄστυ ἠπείγοντο. τηνικαῦτα
plain withdrew and toward the town hastened at-that-time

καὶ Θεόδωρος, ὁ τὴν κατεπωνυμίαν Λαλάκων, ἀνὴρ
also Theodore the(-one) the surname Lalakon a-man
κατά τε ἀλκὴν καὶ σώματος ῥώμην δυσάντητος καὶ
in both prowess and of-body strength hard-to-face and
ἀκαταγώνιστος, πλείστους τῶν δυσμενῶν σιδηρᾷ κορύνῃ
invincible very-many of-the enemies with-an-iron mace
ἀπέκτεινεν. ἰσχύϊ γὰρ χειρὸς ταύτην καταφέρων,
killed with-strength for of-hand it bringing-down
αὐτῇ κυνῇ καὶ τὴν ταύτῃ περιστελλομένην συνέθλαττε
together-with helmet and the by-it enveloped crushed
κεφαλήν. ἀλλ᾽ οὕτω μὲν τότε Σκύθαι, τὰ νῶτα δόντες,
head but thus indeed then Scythians the backs having-given
διὰ τοῦ ἄστεος ὑπενόστησαν. Ῥωμαίους δὲ ὁ βασιλεύς,
through the town withdrew Romans and the emperor
τὸ ἀνακλητικὸν ἐπαυλεῖν ἐγκελεύσας, συνεκαλεῖτο ἐπὶ
the recall to-pipe having-ordered called-together to
τὸν χάρακα, οὓς δώροις καὶ προπόσεσιν ἐθεράπευε,
the palisade whom with-gifts and with-toasts courted
προθυμοποιῶν, ῥωμαλέως ἐπὶ τοὺς πολέμους χωρεῖν.
making-eager vigorously to the wars to-go
Ἐν τούτῳ δὲ τῶν πραγμάτων ἠωρημένων, καὶ τῆς 3
in this and the affairs being-in-suspense and the
μάχης ἔτι συνεστηκυίας, Λέων Κουροπαλάτης, ὁ τοῦ
battle still standing Leo Kouropalates the of-the
αὐτοκράτορος Νικηφόρου ὁμαίμων, ἐπὶ τὴν κατὰ Λέσβον
emperor Nikephoros brother at the in Lesbos
Μήθυμναν ἅμα Νικηφόρῳ τῷ υἱῷ φρουρούμενος, ὥς
Methymna together-with Nikephoros the son being-guarded as
μοι ἤδη δεδήλωται, χρυσῷ τοὺς φρουροὺς διαφθείρας,
by-me already has-been-shown with-gold the guards having-corrupted
ἐς ἀποστασίαν ἀπέκλινεν, ἀσινεῖς ἔχων τὰς κόρας τῶν
into revolt turned unharmed having the pupils of-the

ὀφθαλμῶν. ὁ γὰρ ἐκτυφλοῦν τὸ πρόσθεν αὐτὸν προτραπείς,
eyes the for to-blind the before him urged
εἴτε κατ᾽ ἐντολὴν τοῦ βασιλέως τοῦτο πεποιηκὼς (ὑπονοεῖται
either by command of-the emperor this having-done is-suspected
γὰρ καὶ τοῦτο· τεκμήριον δέ, ὅτι μετὰ τὴν τοῦ δράματος
for also this proof and that after the of-the plot
διάγνωσιν κακῶν ἀπαθὴς ὁ ἄνθρωπος ἔμεινεν), εἴτε
discovery of-ills untouched the man remained or
καὶ οἴκτῳ τῆς τοσαύτης ἐπικαμφθεὶς συμφορᾶς, τὰς
also by-pity of-the so-great having-been-bent misfortune the
μὲν βλεφαρίδας ἐκείνου κατέκαυσεν, ἀσινεῖς δὲ καὶ
indeed eyelashes his burned unharmed but and
ἀκηράτους τὰς κόρας παρέλιπε. τότε γοῦν εἰς ἀκάτιον
intact the pupils left then at-any-rate into a-skiff
ὁ Κουροπαλάτης ἐμβάς, τῇ κατ᾽ ἀντιπέρας Βυζαντίου
the Kouropalates having-embarked at-the on opposite Byzantium
χθονὶ λεληθότως προσώρμισεν, ἐπί τι φροντιστήριον, ὃ
land secretly put-in at some monastery which
Πηλαμὺς κέκληται, κρυπτόμενος. ἐκεῖθέν τε διά τινος τῶν
Pelamys is-called hiding from-there and through some of-the
οἰκείων τοῖς φίλοις καὶ γνωστοῖς τὴν αὑτοῦ καταμηνύει
household(-men) to-the friends and acquaintances the his-own reveals
ἄφιξιν. οἱ δὲ παντὶ σθένει συνάρασθαί οἱ διωμολόγουν,
arrival they and with-all strength to-help-take-up him agreed
καὶ πλῆθος συναθροίσειν ἐνόπλων ἀνδρῶν, καὶ τὰς τῆς
and a-multitude to-gather of-armed men and the of-the
βασιλικῆς ἑστίας κλεῖς ὑφελέσθαι, δι᾽ ὧν αὐτῷ εὐπετῶς
imperial hearth keys to-steal through which for-him easily
ἡ ἐς τὰ βασίλεια γένοιτο πάροδος. καὶ δῆτα ἔργου
the into the palace might-be entrance and indeed to-work
εἴχοντο, καὶ τὴν διὰ λόγων ὑπόσχεσιν καὶ δι᾽ ἔργων
held and the by words promise also by deeds

ἀνύττειν ἐπεχείρουν, μηδόλως μελλήσαντες. ἐντεῦθεν δή
to-accomplish undertook not-at-all having-delayed thereupon indeed
τινα τῶν βασιλικῶν κλειδούχων δωρεαῖς ὑποποιησάμενοι,
one of-the imperial key-keepers with-gifts having-won-over
κηρῷ τὰς κλεῖς ἐκτυποῦν ἔπεισαν, καὶ αὐτοῖς ἐπιδοῦναι
in-wax the keys to-take-impressions persuaded and to-them to-hand-over
τὸν κηρόν. καὶ ὅς, οὐδὲν ἀναδύς, τυπώσας τὸν
the wax and he nothing having-shrunk-back having-impressed the
κηρὸν ἐπεδίδου· οἱ δέ, βάναυσον μισθωσάμενοι, τὰς κλεῖς
wax handed-over they and a-craftsman having-hired the keys
ἐφ᾽ ἑστίας ὡς τάχος ἐχάλκευσαν.
at hearth as quickly forged
Ἐπεὶ δὲ πάντα τούτοις κατὰ γνώμην, ὥς γε 4
when and all for-these according-to plan as at-least
ἐδόκει, ἐχώρει, τὸν Κουροπαλάτην ἐκάλουν περαιοῦσθαι
it-seemed went the Kouropalates they-called to-cross
τὸν Βόσπορον, καὶ καταίρειν ἐπὶ τὸ Βυζάντιον. ὁ δέ,
the Bosporus and to-put-in at — Byzantium he and
τῶν νυκτῶν ἀωρὶ νεὼς ἐπιβὰς καὶ τῇ ἀκροπόλει
of-the nights untimely a-ship having-boarded and at-the acropolis
προσσχών, ἐκεῖθεν διά τινος πυλίδος ὑπὸ τὴν τοῦ
having-landed from-there through some postern under the of-the
ἁγίου Φωκᾶ τελεθούσης ἑστίαν, ἔνδον εἰσῄει τοῦ ἄστεος,
holy Phokas being house within went-into the town
τὴν τῆς ἡγεμονίας ἀρχὴν ἤδη κατέχειν ἐν ταῖς χερσὶν
the of-the leadership rule already to-hold in the hands
ὀνειροπολῶν. τῷ δέ, ἀντὶ πορφυρίδος λαμπρᾶς, καὶ
dreaming for-him and instead-of purple brilliant and
σκήπτρων χρυσῶν, καὶ τυραννίδος, ἣν ὡς μὴ ὤφελεν
scepters golden and tyranny which as not he-ought
ἐμελέτησεν, ἐκτύφλωσιν πικρὰν καὶ ὑπερορίαν μακράν, καὶ
he-devised blinding bitter and exile long and

δήμευσιν τῶν οἰκείων ἡ τύχη ἐσκαιωρεῖτο, ἐπιγελῶσά
confiscation of-the household(-goods) the fortune was-contriving laughing-at
που τοῖς ἐλπιζομένοις τἀνδρί, ὡς οὐκ ἐν ἐχυρῷ
somehow the(-things) being-hoped by-the-man as not in security
κειμένοις, ἀλλ᾽ εἰς τοὔμπαλιν αὐτῷ περιτρεπομένοις,
lying but into the-reverse for-him being-turned
καὶ χαλεπὴν τῶν ἀτυχημάτων ἐπικυλίνδουσι συμφοράν.
and grievous of-the mishaps rolling-on calamity
ἄρτι γάρ, ἐπείπερ κατ᾽ οἰκόν τινος τῶν ὑπηρετουμένων
just for since in house of-some of-the serving
αὐτῷ ἐν τοῖς τοῦ Σφορακίου μέρεσι καθῆστο, τοὺς
him in the — of-Sphorakios quarters he-was-sitting the
συνωμότας συνελθεῖν ἐκδεχόμενος, εἷς τῶν ἐφεπομένων
conspirators to-come-together awaiting one of-the following
αὐτῷ, τῆς ἑστίας ὑπεξελθών, πρόσεισι τῶν συνήθων
him from-the house having-slipped-out approaches of-the acquaintances
τινί, βασιλικῆς ἱστουργίας ὄντι μελεδωνῷ, τὴν τοῦ
someone of-imperial weaving being overseer the of-the
Κουροπαλάτου ἐνδημίαν μηνύων αὐτῷ, καὶ τὸ δρᾶμα
Kouropalates presence revealing to-him and the plot
ἀνακαλύπτων, καὶ προσλιπαρῶν συνάρασθαι αὑτοῖς μετὰ
uncovering and entreating to-help-take-up for-them with
τοῦ τὴν ἱστουργικὴν αὐτουργοῦντος συστήματος. ὁ δὲ
the the weaving working-himself body he and
τὴν ταχίστην βοηθεῖν ἐπηγγέλλετο, καὶ ἀναστὰς ὡς τὸ
the quickest to-help promised and having-risen as the
περὶ αὑτὸν πλῆθος καλέσας ἀπῄει. παρὰ Λέοντα δὲ τὸν
about himself multitude having-called went-off to Leo and the
Πατρίκιον καὶ πλωΐμου Δρουγγάριον ἀφικόμενος, ὃς τότε
Patrikios and of-the-fleet Droungarios having-come who then
παρὰ βασιλέως τὴν τοῦ Βυζαντίου ἐκεχείριστο πρόνοιαν,
from emperor the — of-Byzantium had-been-entrusted care

πάντα τούτῳ δηλοῖ· καὶ ὡς ὁ Κουροπαλάτης ἐκ τῆς
all to-this-man reveals and that the Kouropalates from the
ὑπερορίας ἀναχθείς, ἐπηλύτης τε ὤν, καὶ κατά
exile having-been-brought-back newcomer both being and in
τινα οἰκουρῶν ἑστίαν, ὅσον οὔπω βούλεται τυραννεῖν.
some keeping-at-home house all but wishes to-usurp
ὁ δὲ τῷ ἀθρόῳ τῆς ἀγγελίας καταπλαγείς, εἶτ' αὖθις
he and at-the suddenness of-the news stricken then again
ἀνενεγκὼν (ἦν δὲ σταθηρὸς ἐν περιστάσεσι, καὶ τὸ δέον
having-recovered he-was and steady in crises and the needful
δραστήριος ἐν ἀπόροις ἐξευρεῖν), τὸ περὶ αὑτὸν στῖφος
effective in difficulties to-find-out the about himself band
ἀνειληφώς, ἐξαυτῆς τῇ οἰκίᾳ, καθ' ἣν ὁ Κουροπαλάτης
having-taken-up at-once on-the house in which the Kouropalates
κατήγετο, ἐπιτίθεται. ἐπεὶ δὲ ἔγνω τὸ καθ' αὑτὸν δρᾶμα
was-lodging attacks when and knew the concerning him plot
κατάφωρον ὁ Κουροπαλάτης καὶ ἔκδηλον γεγονός, διά
detected the Kouropalates and evident having-become through
τινος παραθύρου μετὰ τοῦ υἱοῦ ὑπεκδὺς Νικηφόρου, ἐς τὸν
some window with the son slipping-out Nikephoros into the
θεῖον καὶ μέγαν καταφεύγει σηκόν, ἱκέτης ἐλεεινὸς ἀντὶ
divine and great flees precinct a-suppliant pitiable instead-of
σοβαροῦ τυράννου καὶ ἀλαζόνος ὁρώμενος. ὃν ἐκεῖθεν
proud tyrant and boastful seen whom from-there
οἱ περὶ τὸν Δρουγγάριον ἀποσπάσαντες, εἰς ἀκάτιόν τε
the(-men) around the Droungarios having-dragged-away into a-skiff and
ἅμα τῷ υἱῷ Νικηφόρῳ ἐμβαλόντες, πρὸς τὴν λεγομένην
together-with the son Nikephoros having-thrown to the called
Καλώνυμον νῆσον περιορίζουσι· κελεύσει τε βασιλικῇ αὖθις
Kalonymos island exile by-command and imperial again

πρὸς τοῦ αὐτοκράτορος ἐκ Μυσίας ἐνηνεγμένῃ ἀμφοτέρους
from the emperor from Mysia brought both
ἀποτυφλοῦσι, καὶ τὴν τούτων περιουσίαν δημεύουσιν.
blind and the their property confiscate

XXIII · THE RUS AT BAY

The Rus sally to burn the siege engines; the magistros John Kourkouas, drunk, is thrown from his horse, and taking him for the emperor they hack him apart and mount his head on a tower. Next day Anemas kills their second, Ikmor. At night the Rus burn their dead, slaughter captives over them, and drown infants and cocks in the Ister; Leo traces their rites to Anacharsis and Zamolxis or to Achilles, and cites Arrian and Ezekiel's prince of Rhos. In council Sphendosthlavos rejects flight and resolves to fight to the death. Leo notes that the Rus kill themselves rather than be taken. On 24 July they come out; Anemas wounds Sphendosthlavos and is killed.

Ἀλλ' οὕτω μὲν τῷ Κουροπαλάτῃ Λέοντι τὰ τῆς
but thus indeed for-the Kouropalates Leo the(-affairs) of-the
τυραννίδος εἰς δεινὸν καὶ ὀλέθριον κατέληξε τέλος. οἱ δὲ
tyranny into terrible and ruinous ended end the and
Ῥῶς συνασπίσαντες (αὖθις γὰρ ὁ λόγος, ὅθεν ἐξέβη,
Rus having-formed-close-ranks again for the account whence it-went-out
ἐπάνεισιν), ἐπὶ τὸ πεδίον ἐξῄεσαν, παντὶ σθένει πειρώμενοι,
returns onto the plain came-out with-all strength trying
τὰς τῶν Ῥωμαίων πυρπολεῖν μηχανάς. οὐ γὰρ τὰς τούτων
the of-the Romans to-burn engines not for the their
μετὰ ῥοίζου ἔστεγον ἐκπεμπομένας βολάς, πλείστων
with whizzing they-withstood sent-out shots very-many
ὁσημέραι ὑπὸ τῶν ἀφιεμένων λίθων ἀναιρουμένων Σκυθῶν.
daily by the hurled stones being-killed of-Scythians
Ἰωάννης δὲ ὁ Κουρκούας καὶ Μάγιστρος, ἐκ γένους
John and — Kourkouas and Magistros by birth

προσήκων τῷ βασιλεῖ, τὴν τῶν τοιούτων μηχανημάτων
related to-the emperor the of-the such machines
ποιούμενος φυλακήν, τὴν μετὰ θράσους ὁρμὴν τῶν ἐναντίων
making guard the with boldness rush of-the opponents
ἰδών, καὶ ἄλλως οἴνῳ καρηβαρῶν καὶ νευστάζων (μετ'
having-seen and besides with-wine heavy-headed and nodding after
ἄριστον γὰρ ἦν), ἵππου ἐπιβάς, σὺν τοῖς ἑφεπομένοις
breakfast for it-was horse having-mounted with the following
λογάσιν ἤλαυνε κατ' αὐτῶν. βόθρῳ δὲ ὁ ἵππος κατενεχθεὶς
picked-men rode against them into-a-pit and the horse having-fallen
ἀποβάλλει τῶν νώτων τὸν Μάγιστρον. οἱ δὲ Σκύθαι,
throws from-the back the Magistros the and Scythians
ἀριπρεπῆ πανοπλίαν ἰδόντες, καὶ φάλαρα τοῦ ἵππου καὶ
resplendent full-armor having-seen and trappings of-the horse and
τὴν ἄλλην σκευὴν ἐξειργασμένα λαμπρῶς (ἐτύγχανον γὰρ
the other gear worked splendidly they-happened for
κατακόρως ἀληλιμμένα χρυσῷ), δόξαντες αὐτὸν ἐκεῖνον
to-excess coated with-gold having-thought him that-very
εἶναι τὸν αὐτοκράτορα, ἀθρόως περιδραμόντες αὐτοῖς
to-be the emperor in-a-mass having-run-around together-with
ὅπλοις τοῦτον τοῖς ξίφεσι καὶ πελέκεσι κατεμέλισαν
arms him with-the swords and axes cut-to-pieces
ἀπηνῶς· δορατίῳ τε τὴν κεφαλὴν περιπείραντες, ἐπὶ τῶν
cruelly with-a-spear and the head having-pierced on the
πύργων κατέπηξαν, Ῥωμαίους τωθάζοντες, ὡς τὸν σφῶν
towers fixed Romans mocking that the their
βασιλέα δίκην βοσκήματος κρεουργήσαντες. ἀλλὰ τοιαῦτα
emperor like a-beast having-butchered but such
μὲν Ἰωάννης ὁ Μάγιστρος ἀπηνέγκατο τὰ ἐπίχειρα, ὧν
indeed John the Magistros carried-off the wages of-what
εἰς τοὺς θείους πεπαρῳνήκει σηκούς, θυμοῦ βαρβαρικοῦ
against the divine he-had-outraged precincts of-anger barbarian

γεγονὼς παρανάλωμα. λέγεται γὰρ πολλοὺς τῶν κατὰ
having-become a-casualty it-is-said for many of-the in
Μυσίαν κεραΐσαι, καὶ τὰ τούτων ἔπιπλα καὶ σκεύη τὰ
Mysia to-have-ravaged and the their furnishings and vessels the
ἱερὰ εἰς ἰδιωτικὰ μετασκευάσαι κειμήλια.
sacred into private to-have-converted heirlooms

6 Ῥῶς δὲ τῇ τοιαύτῃ νίκῃ κατεπαρθέντες, ἐς τὴν ἐπιοῦσαν
Rus and by-the such victory elated on the following
τοῦ ἄστεος ὑπεξιόντες, παρὰ τὸ μεταίχμιον ἐτάξαντο·
from-the town coming-out at the no-man's-land drew-up
Ῥωμαῖοι δὲ καὶ αὐτοί, ἐς βαθεῖαν συνασπίσαντες
Romans and also themselves into deep having-formed-close-ranks
φάλαγγα, τούτοις ἀντεπῄεσαν. ἐνταῦθα Ἴκμορα, τὸν μετὰ
phalanx against-these advanced-against there Ikmor the after
τὸν Σφενδοσθλάβον τὸ Σκυθικὸν ἄγοντα στράτευμα καὶ
— Sphendosthlavos the Scythian leading army and
τιμώμενον εὐθὺς μετ' ἐκεῖνον, ἄνδρα γιγαντώδη καὶ νεανικόν,
honored straight after him a-man giant-like and young
ἰδὼν Ἀνεμᾶς, ὁ τῶν βασιλικῶν σωματοφυλάκων εἷς, καὶ
having-seen Anemas the of-the imperial bodyguards one and
τοῦ τῶν Κρητῶν υἱὸς ἀρχηγοῦ, ἐνθουσιωδῶς ἐφορμῶντα
of-the of-the Cretans son leader frenziedly charging
μετὰ τῆς τῶν ἐφεπομένων πεζεταίρων φάλαγγος καὶ
with the of-the following foot-soldiers phalanx and
πλείστους Ῥωμαίων ἀποκτιννύοντα, ἀλκῇ τε φύσεως
very-many of-Romans killing by-prowess and of-nature
ἐπαρθείς, τὸ παρῃωρημένον ξίφος ἑλκύσας, καὶ τὸν ἵππον
elated the hanging-at-his-side sword having-drawn and the horse
τῇδε κἀκεῖσε παρεξελάσας, τοῖς τε μύωψι καταικίσας,
here and-there having-ridden-out with-the and spurs having-goaded
κατὰ τοῦ Ἴκμορος ἴεται, καὶ τοῦτον κατειληφὼς πλήττει
against — Ikmor rushes and him having-overtaken strikes

κατὰ τοῦ τένοντος· ἡ δὲ τοῦ Σκύθου κεφαλὴ σὺν τῇ
at the sinew the and of-the Scythian head with the
δεξιᾷ ἐκτμηθεῖσα χειρὶ πρὸς τοὔδαφος ἀπηράττετο. τοῦ δὲ
right cut-off hand to the-ground was-dashed of-the and
πεσόντος, βοή τις παρὰ τῶν Σκυθῶν οἰμωγῇ σύμμικτος
fallen shout some from the Scythians with-wailing mingled
αἴρεται· Ῥωμαῖοι δὲ τούτοις ἐπέδραμον. οἱ δὲ οὐκ ἤνεγκαν
is-raised Romans and on-these ran they and not bore
τὴν τῶν ἐναντίων ῥοπήν, ἀλλὰ τῷ τοῦ σφῶν στρατηγοῦ
the of-the opponents weight but at-the of-the their-own general
πάθει ἐκτόπως περιαλγήσαντες, τὰ σάκη κατωμαδὸν
fate extraordinarily having-grieved the shields upon-the-shoulders
ἄραντες, ἐχώρουν διὰ τοῦ ἄστεος, οὓς ἐπισπόμενοι
having-lifted went through the town whom having-pursued
Ῥωμαῖοι ἀπέκτεινον. ἤδη δὲ νυκτὸς κατασχούσης, καὶ τῆς
Romans killed already and night having-taken-hold and the
μήνης πλησιφαοῦς οὔσης, κατὰ τὸ πεδίον ἐξελθόντες τοὺς
moon full-shining being on the plain having-gone-out the
σφετέρους ἀνεψηλάφων νεκρούς· οὓς καὶ συναλίσαντες πρὸ
their-own groped-for dead whom also having-gathered before
τοῦ περιβόλου καὶ πυρὰς θαμινὰς διανάψαντες, κατέκαυσαν,
the circuit-wall and pyres numerous having-kindled burned
πλείστους τῶν αἰχμαλώτων, ἄνδρας καὶ γύναια, ἐπ᾽
very-many of-the captives men and women over
αὐτοῖς κατὰ τὸν πάτριον νόμον ἐναποσφάξαντες.
them according-to the ancestral custom having-slaughtered
ἐναγισμούς τε πεποιηκότες, ἐπὶ τὸν Ἴστρον ὑπομάζια
offerings-to-the-dead and having-made at the Ister suckling
βρέφη καὶ ἀλεκτρυόνας ἀπέπνιξαν, τῷ ῥοθίῳ τοῦ ποταμοῦ
babes and cocks drowned in-the current of-the river
ταῦτα καταποντώσαντες. λέγεται γὰρ Ἑλληνικοῖς ὀργίοις
these having-sunk it-is-said for in-Hellenic rites

κατόχους ὄντας, τὸν Ἑλληνικὸν τρόπον θυσίας καὶ χοὰς
possessed being in-the Hellenic manner sacrifices and libations
τοῖς ἀποιχομένοις τελεῖν, εἴτε πρὸς Ἀναχάρσεως ταῦτα
to-the departed to-perform either by Anacharsis these-things
καὶ Ζαμόλξιδος, τῶν σφετέρων φιλοσόφων, μυηθέντες,
and Zamolxis of-the their-own philosophers having-been-initiated
εἴτε καὶ πρὸς τῶν τοῦ Ἀχιλλέως ἑταίρων. Ἀρριανὸς γάρ
or also by the — of-Achilles companions Arrian for
φησιν ἐν τῷ Περίπλῳ, Σκύθην Ἀχιλλέα τὸν Πηλέως
says in the Periplus Scythian Achilles the(-son) of-Peleus
πεφηνέναι, ἐκ τῆς Μυρμηκιῶνος καλουμένης πολίχνης,
to-have-been from the Myrmekion called town
παρὰ τὴν Μαιῶτιν λίμνην κειμένης· ἀπελαθέντα δὲ πρὸς
by the Maeotic lake lying driven-out and by
τῶν Σκυθῶν διὰ τὸ ἀπηνές, ὠμόν, καὶ αὔθαδες τοῦ
the Scythians because-of the harsh savage and arrogant of-the
φρονήματος, αὖθις Θετταλίαν οἰκῆσαι. τεκμήρια τοῦ λόγου
temper again Thessaly to-have-dwelt proofs of-the account
σαφῆ ἥ τε τῆς ἀμπεχόνης σὺν τῇ πόρπῃ σκευή, καὶ
clear the both of-the cloak with the brooch fashion and
ἡ πεζομαχία, καὶ ἡ πυρσὴ κόμη, καὶ οἱ γλαυκιῶντες
the fighting-on-foot and the red hair and the gray-gleaming
ὀφθαλμοί, καὶ τὸ ἀπονενοημένον, καὶ θυμοειδές, καὶ ὠμόν·
eyes and the reckless and spirited and savage
ἃ καὶ ὀνειδίζων Ἀγαμέμνων ἐπέσκωπτεν, οὑτωσὶ λέγων·
which also reproaching Agamemnon mocked thus saying
“Αἰεὶ γάρ τοι ἔρις τε φίλη, πόλεμοί τε, μάχαι τε.”
always for to-you strife both dear wars and battles and
φόνῳ γὰρ εἰσέτι καὶ αἵματι τὰ νείκη Ταυροσκύθαι
with-slaughter for still and with-blood the quarrels Tauroscythians
διακρίνειν εἰώθασιν. ὅτι δὲ τὸ ἔθνος ἀπονενοημένον, καὶ
to-decide are-wont that and the people reckless and

μάχιμον, καὶ κραταιόν, πᾶσι τοῖς ὁμόροις ἐπιτιθέμενον
warlike and mighty all the bordering attacking
ἔθνεσι, μαρτυροῦσι πολλοί, καὶ ὁ θεῖος δὲ Ἰεζεκιήλ,
peoples testify many and the divine and Ezekiel
μνήμην τούτου ποιούμενος, ἐν οἷς ταῦτά φησιν· “Ἰδοὺ
mention of-it making in which these-things he-says behold
ἐγὼ ἐπάγω ἐπὶ σὲ τὸν Γὼγ καὶ Μαγώγ, ἄρχοντα Ῥώς.”
I bring upon you — Gog and Magog prince of-Rhos
Ἀλλ’ ἀπόχρη μὲν ταῦτα περὶ τῶν Ταύρων ἐναγισμῶν.
but suffice indeed these-things about the Taurians offerings-to-the-dead
Τότε δὲ ἤδη διανισχούσης ἡμέρας βουλὴν ὁ Σφενδοσθλάβος 7
then and already breaking-forth day council — Sphendosthlavos
τῶν ἀρίστων ἐκάθιζεν, ἣν καὶ κομέντον τῇ σφετέρᾳ
of-the best convened which also komenton in-the their-own
διαλέκτῳ φασίν. ἄρτι δὲ συναθροισθέντων περὶ αὐτόν,
tongue they-say just and having-been-gathered about him
καὶ ὅ τι δεῖ καὶ δρᾷν πρὸς αὐτοῦ διερωτηθέντων,
and what — must also to-do by him having-been-asked
οἱ μὲν ἀωρὶ συνεβούλευον τῶν νυκτῶν, ἐπιβάντες τῶν
some indeed untimely advised of-the nights having-boarded the
πλοίων, πάσῃ μηχανῇ κλέψαι τὴν φυγήν· μὴ γὰρ οἵους τε
boats by-every means to-steal the flight not for able —
καθεστάναι ἱππόταις πανσιδήροις ἀνδράσι συμπλέκεσθαι,
to-be with-horsemen all-iron men to-engage
ἀποβαλόντας καὶ ταῦτα τοὺς πρωταγωνιστάς, ὑφ’ ὧν
having-lost and that the foremost-fighters by whom
τὸ στρατόπεδον ἀνερρώννυτο, καὶ οἱ θυμοὶ τῶν ἀνδρῶν
the army was-strengthened and the spirits of-the men
παρεθήγοντο. οἱ δὲ τοὔμπαλιν δεξιὰς ἐμβάλλειν
were-whetted others and the-reverse right-hands to-give
Ῥωμαίοις ἐξυνεβούλευον, καὶ πίστεις λαμβάνειν, καὶ οὕτω
to-Romans advised and pledges to-take and so

διασώζειν τὴν περιλειφθεῖσαν στρατιάν. οὐδὲ γὰρ ἔχειν
to-save the remaining army nor for to-be-able
εὐχερῶς κλέψαι τὸν ἀπόπλουν, τῶν πυρφόρων νεῶν παρὰ
easily to-steal the sailing-away of-the fire-bearing ships along
τοῦ Ἴστρου ἄνδηρα ἑκατέρωθεν φρουρουσῶν τὰ πορθμεῖα,
of-the Ister banks on-each-side guarding the ferries
ὡς, ἡνίκα πειραθεῖεν ἐκπλεῦσαι τὸν ποταμόν, πυρπολήσειν
so-that whenever they-should-try to-sail-out the river to-burn
ἐξαυτῆς ἅπαντα. ὁ δὲ Σφενδοσθλάβος, μύχιον καὶ πικρὸν
at-once all — and Sphendosthlavos deep and bitter
ἀνοιμώξας, "οἴχεται τὸ κλέος," ἔφη, "ὃ τῇ Ῥωσικῇ
having-groaned is-gone the glory he-said which the Rus
πανοπλίᾳ συνείπετο, τὰ πρόσοικα καταστρεφομένῃ ἔθνη
full-army accompanied the neighboring subduing peoples
ἀπονητί, καὶ χώρας ὅλας ἀνδραποδιζομένῃ ἀναιμωτί, εἰ νῦν
without-toil and countries whole enslaving without-bloodshed if now
ἀκλεῶς Ῥωμαίοις ὑπείξομεν. ἀλλὰ γάρ, τὴν ἐκ προγόνων
ingloriously to-Romans we-shall-yield but for the from forefathers
ἀνειληφότες ἀρετήν, ἀναλογισάμενοί τε, ὡς ἀκαταγώνιστος
having-taken-up valor having-reckoned and that invincible
ἡ Ῥωσικὴ μέχρι καὶ τήμερον καθέστηκεν ἀλκή, ἐκθύμως
the Rus until even today has-stood might eagerly
ὑπὲρ τῆς σφῶν σωτηρίας διαγωνισώμεθα. οὐδὲ γὰρ ἔθιμον
for the our-own safety let-us-fight-it-out nor for customary
ἡμῖν φεύγουσιν ἐς τὴν πατρίδα φοιτᾷν, ἀλλ' ἢ νικῶντας
for-us fleeing into the fatherland to-go but either conquering
ζῆν, ἢ εὐκλεῶς τελευτᾷν, ἔργα ἐπιδεδειγμένους γενναίων
to-live or gloriously to-die deeds having-displayed of-noble
ἀνδρῶν." τοσαῦτα μὲν ὁ Σφενδοσθλάβος ἐβούλευσεν.
men so-much indeed — Sphendosthlavos counseled

Λέγεται δὲ καὶ τοῦτο περὶ Ταυροσκυθῶν, μήποτε μέχρι καὶ 8
it-is-said and also this about Tauroscythians never until even
νῦν ἑαυτοὺς ἐγχειρίζειν τοῖς δυσμενέσιν ἡττωμένους· ἀλλ'
now themselves to-hand-over to-the enemies being-defeated but
ἤδη τῆς σωτηρίας ἀπαγορεύσαντας ὠθεῖν τε κατὰ τῶν
already of-the safety having-despaired to-thrust both into the
σπλάγχνων τὰ ξίφη, καὶ οὕτως ἑαυτοὺς ἀναιρεῖν. τοῦτο δὲ
bowels the swords and thus themselves to-kill this and
πράττουσι, δόξαν κεκτημένοι τοιαύτην· φασὶ γὰρ τοὺς
they-do belief having such they-say for the(-men)
πρὸς τῶν ἐναντίων κατακτεινομένους ἐν τοῖς πολέμοις,
by the opponents being-slain in the wars
μετὰ τὸν μόρον καὶ τὴν ἐκ τῶν σωμάτων διάζευξιν τῶν
after the death and the from the bodies separation of-the
ψυχῶν ἐν ᾅδου τοῖς αὐθένταις ὑπηρετεῖν. Ταυροσκύθαι δέ,
souls in Hades to-the slayers to-serve Tauroscythians and
τὴν τοιαύτην δεδιότες λατρείαν, ἀποστυγοῦντες δὲ καὶ
the such fearing servitude loathing and also
τοῖς ἀναιροῦσιν αὐτοὺς ἐξυπηρετεῖν, τῆς ἑαυτῶν σφαγῆς
to-the(-men) killing them to-serve of-the their-own slaughter
αὐτόχειρες γίνονται. ἀλλὰ τοιαύτη μὲν ἡ ἐπικρατήσασα
by-their-own-hand become but such indeed the having-prevailed
ἐν αὐτοῖς δόξα. τότε δέ, τῶν τοῦ ἄρχοντος λόγων
among them belief then and of-the of-the ruler words
ἀκούσαντες, φιλοψυχότατα τὸν ὑπὲρ τῆς σφῶν σωτηρίας
having-heard most-life-lovingly the for the their-own safety
αἱρεῖσθαι κίνδυνον κατετίθεντο, ἐκθύμως τε πρὸς τὴν
to-choose danger they-resolved eagerly and against the
Ῥωμαϊκὴν ἀντιτάξασθαι δύναμιν. τῇ γοῦν ὑστεραίᾳ
Roman to-array-themselves force on-the at-any-rate next-day
(ἕκτη δὲ ἦν τῆς ἑβδομάδος ἡμέρα, καὶ εἰκάδα τετάρτην
sixth and was of-the week day and twentieth fourth

ἤλαυνεν ὁ Ἰούλιος μήν), περὶ καταφορὰν ὄντος ἡλίου,
was-driving the July month about setting being sun
πανσυδὶ τῆς πόλεως ἐξελθόντες οἱ Ταυροσκύθαι,
with-all-their-host from-the city having-gone-out the Tauroscythians
παντὶ σθένει διακινδυνεύειν ᾑροῦντο, εἰς φάλαγγα καρτερὰν
with-all strength to-run-the-risk chose into phalanx strong
συνασπίσαντες, καὶ προβαλόντες τοὺς ἄκοντας. Ῥωμαίους
having-formed-close-ranks and having-thrust-forward the javelins Romans
δὲ διατάξας ὁ βασιλεὺς ὑπεξῆγε τοῦ χάρακος. ἤδη δὲ
and having-drawn-up the emperor led-out from-the palisade already and
τῆς μάχης καταῤῥαγείσης, εὐρώστως οἱ Σκύθαι Ῥωμαίοις
the battle having-broken-out stoutly the Scythians against-Romans
ἐπῄεσαν, τοῖς τε ἀκοντίοις σινόμενοι, καὶ τοῖς βέλεσι
advanced with-the both javelins harming and with-the arrows
τοὺς ἵππους τιτρώσκοντες, καὶ τοὺς ἐπιβάτας εἰς γῆν
the horses wounding and the riders to earth
καταβάλλοντες. ἐνταῦθα ὁ τῇ προτεραίᾳ ἠριστευκὼς
casting-down there the on-the previous-day having-been-best
Ἀνεμᾶς καὶ τὸν Ἴκμορον κατακτείνας, τὸν Σφενδοσθλάβον
Anemas and — Ikmor having-slain — Sphendosthlavos
ἰδὼν ἐνθουσιωδῶς κατὰ Ῥωμαίων ὁρμῶντα καὶ μανικῶς,
having-seen frenziedly against Romans rushing and madly
καὶ τὰς αὐτοῦ ἐπιῤῥωννύοντα φάλαγγας, τὸν ἵππον
and the his encouraging phalanxes the horse
παρεξελάσας (εἰθισμένον δὲ ἦν αὐτῷ τοῦτο δρᾷν, καὶ
having-ridden-out accustomed and was for-him this to-do and
πλείστους τῶν Σκυθῶν τοιούτῳ τρόπῳ ἀνεῖλε τὸ
very-many of-the Scythians in-such manner he-had-killed the
πρότερον), ὅλην ἡνίαν τῷ ἵππῳ ἀνεὶς ὡς αὐτὸν
before whole rein to-the horse having-let-go toward him
ἴεται, καὶ ξίφει παίει κατὰ τῆς κλειδός, καὶ τὸν μὲν
rushes and with-sword strikes at the collarbone and him indeed

πρηνῆ καταβάλλει, οὐ μὴν κατακτείνει. ἐπήρκεσε γὰρ ὁ
headlong casts-down not however kills sufficed for the
ἀλυσιδωτὸς χιτὼν καὶ τὸ σάκος, ἅ, δεδιὼς τὰς Ῥωμαϊκὰς
chain-linked tunic and the shield which fearing the Roman
αἰχμάς, ἠμφιέννυτο. Ἀνεμᾶς δέ, πρὸς τῆς τῶν Σκυθῶν
spear-points he-wore Anemas and by the of-the Scythians
κυκλωθεὶς φάλαγγος, τοῦ ἵππου καταβληθέντος συχναῖς
having-been-encircled phalanx the horse having-been-cast-down with-frequent
τῶν δοράτων βολαῖς, πλείστους μὲν ἀναιρεῖ τούτων,
of-the spears casts very-many indeed kills of-these
ἐναποσφάττεται δὲ καὶ αὐτός, ἀνὴρ οὐδενὸς τῶν ἡλικιωτῶν
is-slaughtered and also himself a-man by-none of-the contemporaries
ἡττώμενος ἐν τοῖς κατὰ τὰς μάχας ἀνδραγαθήμασιν.
being-surpassed in the in the battles brave-deeds

XXIV · VICTORY AND THE PEACE

A storm blows dust into the Rus' faces and a rider on a white horse, held to be the martyr Theodore, breaks their ranks; in Byzantium a nun has seen the God-bearer send him to John's help. Bardas Skleros surrounds the Rus, fifteen thousand five hundred fall, and Sphendosthlavos sues for peace. John supplies the twenty-two thousand survivors with grain, and the prince, crossing in a boat, meets him on the Ister bank; Leo describes his appearance. On the way home the Patzinaks kill Sphendosthlavos and nearly all his men. John renames Dorystolon Theodoroupolis and triumphs in Constantinople, setting the icon of the God-bearer in his chariot, and makes Boris lay aside the Mysian regalia.

Ἐπὶ τῷ τούτου τοίνυν οἱ Ῥῶς ἀναθαῤῥήσαντες πταίσματι, 9
at the his therefore the Rus having-taken-courage fall
γεγωνόν τι καὶ ἄγριον ἐπηλάλαξαν, καὶ Ῥωμαίους
loud something and wild raised-the-war-cry and Romans
ἀνώθησαν. οἱ δὲ προτροπάδην ὑπενόστουν, τὴν ἀλλόκοτον
pushed-back they and headlong withdrew the strange

ὁρμὴν ἐκκλίνοντες τῶν Σκυθῶν. ἐνταῦθα ὁ βασιλεύς, ὡς
rush avoiding of-the Scythians there the emperor when
ᾔσθετο κλινομένην τὴν Ῥωμαϊκὴν φάλαγγα, δεδοικώς,
he-perceived giving-way the Roman phalanx fearing
μὴ καταπτοηθεῖσα τὸ ἀλλόκοτον ὅρμημα τῶν Σκυθῶν,
lest terrified-by the strange onset of-the Scythians
περὶ αὐτὰ πταίσοι τὰ καίρια, τοῖς ἀμφ' αὐτὸν
about the-very it-should-stumble the vital(-things) to-the(-men) around him
ἐγκελευσάμενος καὶ τὸ δόρυ σθεναρῶς μεταχειρισάμενος,
having-called-out and the spear stoutly having-handled
κατὰ τῶν ἀντιπάλων ἐχώρει. ἐπαταγεῖτο δὲ καὶ τὰ
against the adversaries advanced were-rattled and also the
τύμπανα, καὶ τὸ ἐνυάλιον συνεπήχουν αἱ σάλπιγγες. Ῥωμαῖοι
drums and the battle-call sounded-together the trumpets Romans
δέ, τὴν τοῦ αὐτοκράτορος καταιδεσθέντες ὁρμήν, τοὺς
and the of-the emperor having-been-shamed-by rush the
ἵππους περιελίξαντες, μετὰ ῥύμης τοῖς Σκύθαις ἐφώρμησαν.
horses having-wheeled-round with force on-the Scythians charged
παραυτίκα δὲ καὶ θύελλα ψεκάδι συμμιγὴς ἀναῤῥιπισθεῖσα,
at-once and also a-storm with-rain mixed having-been-fanned-up
ἐπὶ πολύ τε τοῦ ἀέρος χεθεῖσα, τοὺς δυσμενεῖς ἔβαλλε,
over much and of-the air having-been-poured the enemies struck
καὶ ἡ κόνις ἐγειρομένη τοὺς αὐτῶν ἔβλαπτεν ὀφθαλμούς.
and the dust rising the their harmed eyes
λέγεται δὲ καί τινα λευκόπωλον ἄνδρα φανῆναι,
it-is-said and also a-certain on-a-white-horse man to-have-appeared
προηγεῖσθαί τε Ῥωμαίων, καὶ τούτοις προτρέπεσθαι,
to-lead both Romans and them to-urge
χωρεῖν κατὰ τῶν Σκυθῶν· ὅστις θεσπεσίως τὰς τῶν
to-advance against the Scythians who marvelously the of-the
δυσμενῶν διακόπτων συνετάραττε φάλαγγας. τοῦτόν φασι
enemies cutting-through confounded phalanxes him they-say

μήτε πρότερόν τις ἐν τῷ στρατοπέδῳ θεάσασθαι, οὔτ'
neither before anyone in the camp to-have-seen nor
αὖθις μετὰ τὴν μάχην ἑωρακέναι· καίτοι βασιλέως αὐτὸν
again after the battle to-have-seen although emperor him
ἀναψηλαφῶντος, ὡς δωρεαῖς ἐπαξίως φιλοφρονήσαιτο, καὶ
searching-for so-that with-gifts worthily he-might-treat-kindly and
ἀμοιβαῖς ἕκατι τῶν πόνων ἀμείψαιτο. ἀλλ' οὐχ εὑρέθη
with-rewards for-the-sake-of the toils he-might-repay but not he-was-found
ζητούμενος. ἐντεῦθεν ἀναμφίλεκτος ὑπόνοια ὑποτρέχει, τὸν
being-sought hence undisputed supposition runs-beneath the
μέγαν ἐν μάρτυσι Θεόδωρον εἶναι, ὃν παρὰ τοὺς
great among martyrs Theodore to-be whom in the
ἀγῶνας ὁ βασιλεὺς σύμμαχον ἐξελιπάρει παρίστασθαι,
contests the emperor ally besought to-stand-by
ῥύεσθαί τε καὶ σώζειν συνάμα παντὶ τῷ στρατεύματι.
to-rescue both and to-save together-with all the army
φασὶ δὲ καὶ τοιοῦτόν τι συμβῆναι παρὰ τὴν πρὸ τῆς
they-say and also such something to-have-happened on the before the
μάχης ἑσπέραν. ἐν Βυζαντίῳ παρθένος τῶν ἀνατεθειμένων
battle evening in Byzantium a-virgin of-the dedicated
Θεῷ καθ' ὕπαρ ὁρᾷν ἐδόκει τὴν θεοτόκον, ὑπό τινων
to-God in waking-vision to-see seemed the God-bearer by some
φλογοειδῶν δορυφορουμένην ἀνδρῶν. φάναι δὲ πρὸς
fiery escorted men to-say and to
αὐτούς· "καλέσατε δή μοι τὸν μάρτυρα Θεόδωρον·"
them call indeed for-me the martyr Theodore
παραυτίκα δὲ παραχθῆναι γενναῖον ἄνδρα καὶ
at-once and to-have-been-brought-forward noble man and
νεανικόν, ἔνοπλον. εἰπεῖν τε πρὸς αὐτὸν τὴν θεοτόκον·
young armed to-say and to him the God-bearer
"ὁ σὸς παρὰ τὸ Δορύστολον Ἰωάννης, κύριε Θεόδωρε,
the your at — Dorystolon John lord Theodore

Σκύθαις μαχόμενος, ἄρτι περιστατεῖται δεινῶς. ἀλλ' εἰς
Scythians fighting just-now is-beset terribly but to
τὴν ἐκείνου σπεῦσον βοήθειαν. εἰ γὰρ μὴ προφθάσῃς, ἐς
the his hasten help if for not you-anticipate into
κίνδυνον αὐτῷ τελευτήσει τὰ πράγματα." τὸν δὲ αὖθις,
danger for-him will-end the affairs him and again
ἑτοίμως ἔχειν, εἰπεῖν, τῇ μητρὶ τοῦ Θεοῦ καὶ δεσπότου
ready to-be to-say to-the mother — of-God and Lord
μου πειθαρχεῖν· φάμενος δὲ τοῦτο εὐθὺς οἴχεσθαι, καὶ
my to-obey having-said and this at-once to-be-gone and
οὕτω τὸν ὕπνον ἀποπτῆναι τῆς παρθένου τῶν ὀφθαλμῶν.
thus the sleep to-have-flown-off of-the virgin from-the eyes
ἀλλὰ τῇ μὲν παρθένῳ τὸ ὕπαρ ἐς τοῦτο συνεπεραίνετο.
but to-the indeed virgin the vision to this was-brought-to-an-end
10 Ῥωμαῖοι δέ, τῷ προπορευομένῳ θείῳ ἀνδρὶ ἑφεπόμενοι,
Romans and the going-ahead divine man following
τοῖς ἐναντίοις συμπλέκονται, καὶ καρτερᾶς μάχης
with-the opponents engage and stout battle
συστάσης, οὐκ ἐνεγκόντες τὴν τῆς ἱππικῆς φάλαγγος οἱ
having-arisen not having-borne the of-the cavalry phalanx the
Σκύθαι ῥοπήν, κυκλωθέντες τε πρὸς τοῦ Μαγίστρου
Scythians weight having-been-encircled and by the Magistros
Βάρδα, ᾧ Σκληρὸς ἡ ἐπίκλησις (ἐκεῖνος γὰρ μετὰ
Bardas to-whom Skleros the surname he for with
τοῦ συνεπομένου πλήθους τὴν κύκλωσιν ἐποιήσατο), εἰς
the following multitude the encirclement made to
φυγὴν ἔκλιναν, καὶ μέχρι τοῦ περιβόλου συμπατούμενοι,
flight turned and up-to the circuit-wall trampled-together
ἀκλεῶς ἔπιπτον. μικροῦ δὲ καὶ αὐτὸς ὁ Σφενδοσθλάβος
ingloriously fell by-a-little and also himself — Sphendosthlavos
ἐλήφθη, ἔξαιμος γεγονὼς καὶ καταβελής, εἰ μὴ ἡ νὺξ
was-taken bloodless having-become and shot-down if not the night

ἐπελθοῦσα τοῦτον διέσωσεν. λέγεται δὲ παρὰ ταύτην τὴν
having-come-on him had-saved it-is-said and in this the
μάχην πέντε καὶ δέκα χιλιάδας πρὸς τοῖς πεντακοσίοις
battle five and ten thousands in-addition-to the five-hundred
ἀναιρεθῆναι Σκυθῶν, ληφθῆναι δὲ δισμυρίαν ἀσπίδα, καὶ
to-have-been-slain of-Scythians to-have-been-taken and twenty-thousand shield and
ξίφη πάμπολλα. Ῥωμαίων δὲ τριακοσίους ἀποκτανθῆναι
swords very-many of-Romans and three-hundred to-have-been-killed
πρὸς τοῖς πεντήκοντα, τρωθῆναι δὲ συχνούς.
in-addition-to the fifty to-have-been-wounded and many
ἀλλὰ τοιαύτην μὲν Ῥωμαῖοι τὴν νίκην παρὰ τὸν ἀγῶνα
but such indeed Romans the victory in the contest
ἠνέγκαντο τουτονί. ὁ δὲ Σφενδοσθλάβος, παρ' ὅλην τὴν
carried-off this-here — and Sphendosthlavos through whole the
νύκτα βαρυθυμῶν ἐπὶ τῇ κατακοπῇ τῆς ἑαυτοῦ στρατιᾶς,
night being-heavy-hearted at the cutting-down of-the his-own army
ἤσχαλλε μὲν καὶ ἐσφάδαζε τῷ θυμῷ. μὴ ἐξισχύων
was-vexed indeed and writhed in-the anger not being-strong-enough
δ' ἔτι πρὸς ἀκαταγώνιστον ἀνύττειν πανστρατιάν, ἔγνω,
but still against invincible to-accomplish full-army he-knew
στρατηγοῦ νοῦν ἔχοντος ἔργον εἶναι, ἐν ἀμηχάνοις
of-a-general sense having work to-be in helpless(-straits)
καταληφθέντα δεινοῖς, μὴ καταπίπτειν τοῖς λυπηροῖς,
having-been-caught terrible not to-fall-down before-the griefs
παντὶ δὲ τρόπῳ διασώζειν πειρᾶσθαι τοὺς ὑπ' αὐτόν. καὶ
in-every and way to-save to-try the(-men) under him and
δῆτα παρὰ τὴν ἕω πρέσβεις ὡς τὸν αὐτοκράτορα Ἰωάννην
indeed at the dawn envoys to the emperor John
στείλας, πίστεις ᾔτει ξυμβάσεων, ἐπὶ τῷ, Ταυροσκύθας
having-sent pledges asked of-agreements on-the-terms that Tauroscythians
μὲν τό τε Δορύστολον ἐγχειρίσαι Ῥωμαίοις, καὶ τοὺς
indeed — both Dorystolon to-hand-over to-Romans and the

αἰχμαλώτους ἀπολύσαι, καὶ Μυσίας ἀφέξεσθαι, καὶ πρὸς
captives to-release and from-Mysia to-keep-away and to
τὴν σφῶν ἀναζεῦξαι πατρίδα· Ῥωμαίους δὲ παραχωρῆσαι
the their-own to-march-home fatherland Romans and to-grant
αὐτοῖς τοῦ ἀπόπλου, καὶ μὴ ἐναγομένοις ἐπιτεθήσεσθαι
to-them the sailing-away and not as-they-set-out to-attack
μετὰ τῶν πυρφόρων νεῶν (ἐκτόπως γὰρ ἐδεδίεσαν τὸ
with the fire-bearing ships extraordinarily for they-feared the
Μηδικὸν πῦρ, δυνάμενον καὶ τοὺς λίθους ἀποτεφροῦν)·
Median fire able even the stones to-reduce-to-ash
ἐπισιτισμόν τε πρὸς τούτοις ἐπιχορηγῆσαι, καὶ φίλους
provisioning both in-addition-to these to-supply and friends
ἡγεῖσθαι αὐτούς, κατ᾽ ἐμπορίαν πρὸς τὸ Βυζάντιον
to-consider them for trade to — Byzantium
στελλομένους, καθάπερ ἀνέκαθεν ἔθιμον ἦν.
being-sent as from-of-old customary it-was

11 Βασιλεὺς δέ, τὰς τοιαύτας ἄσμενος διαλλαγὰς προσδεξάμενος
(the)-emperor and the such gladly reconciliations having-accepted
(εἰρήνην γὰρ διαφερόντως τῆς μάχης ἐτίμα· τὴν μὲν
peace for far-more than-the battle valued the indeed
γὰρ ᾔδει τοὺς λαοὺς διασώζουσαν, τὴν δὲ τοὔμπαλιν
for he-knew the peoples saving the and on-the-contrary
διαφθείρουσαν), τάς τε ξυνθήκας ἐτέλει καὶ τὰς σπονδάς,
destroying the both covenants performed and the treaty
καὶ σῖτον ἐδίδου, ἑκάστῳ ἀνδρὶ μετρῶν ἀνὰ μεδίμνων
and grain gave to-each man measuring at medimnoi
δύο. εἶναι δὲ τοὺς εἰληφότας τὸν σῖτόν φασιν ἄνδρας
two to-be and the having-received the grain they-say men
δισμυρίους πρὸς τοῖς δισχιλίοις, οἳ ἐκ τῶν ἑξήκοντα
twenty-thousand in-addition-to the two-thousand who from the sixty
χιλιάδων τῆς Ῥωσικῆς στρατιᾶς τότε τὸν ὄλεθρον ἔφυγον·
thousands of-the Rus army then the destruction escaped

τὰς γὰρ τριάκοντα καὶ ὀκτὼ χιλιάδας ἡ Ῥωμαϊκὴ αἰχμὴ
the for thirty and eight thousands the Roman spear-point
κατηκόντισε. μετὰ δὲ τὸ προβῆναι τὰς σπονδάς, εἰς
speared-down after and the to-have-gone-forward the treaty into
ὁμιλίαν ὁ Σφενδοσθλάβος τῷ βασιλεῖ συνελθεῖν ἐξαιτεῖ.
conversation — Sphendosthlavos with-the emperor to-come-together requests
ὁ δέ, μηδὲν ἀναδύς, διαχρύσῳ πανοπλίᾳ καθοπλισθείς,
he and nothing having-shrunk-back in-gold-inlaid full-armor having-been-armed
ἔφιππος παρὰ τὴν ὄχθην τοῦ Ἴστρου ἀφίκετο, μυρίανδρον
on-horseback by the bank of-the Ister arrived ten-thousand-man
ἴλην χρυσοφορούντων ἐνόπλων ἱππέων συνεπαγόμενος.
squadron of-gold-wearing armed horsemen bringing-along
καὶ ὁ Σφενδοσθλάβος δὲ ἦκεν ἐπί τινος Σκυθικοῦ ἀκατίου
also — Sphendosthlavos and came on some Scythian boat
παραπλέων τὸν ποταμόν, τῆς κώπης ἠμμένος καὶ σὺν τοῖς
sailing-along the river the oar holding and with the
ἑτέροις ἐρέττων, ὡς εἷς τῶν λοιπῶν. τὴν δὲ ἰδέαν τοιόσδε
others rowing as one of-the rest the and appearance such-as-this
τις ἦν· τὴν ἡλικίαν μεμετρημένος, οὔτε εἰς ὕψος παρὰ τοῦ
some he-was the stature measured neither to height beyond the
εἰκότος ἠρμένος, οὔτε εἰς βραχύτητα συστελλόμενος· δασεῖς
likely raised nor into shortness contracted shaggy
τὰς ὀφρῦς, γλαυκοὺς ἔχων τοὺς ὀφθαλμούς, τὴν ῥῖνα σιμός,
the brows gray having the eyes the nose snub
ἐψιλωμένος τὸν πώγωνα, τῷ ἄνωθεν χείλει δασείαις καὶ
shaven the beard on-the upper lip with-thick and
εἰς μῆκος καθειμέναις θριξὶ κομῶν περιττῶς. τὴν δὲ
to length let-down hairs growing-long abundantly the and
κεφαλὴν πάνυ ἐψίλωτο· παρὰ δὲ θάτερον μέρος αὐτῆς
head wholly had-been-shaved at and the-other side of-it
βόστρυχος ἀπηώρητο, τὴν τοῦ γένους ἐμφαίνων εὐγένειαν·
a-lock hung the of-the race showing nobility

εὐπαγὴς τὸν αὐχένα, τὰ στέρνα εὐρύς, καὶ τὴν ἄλλην
well-knit the neck the chest broad and the other
διάπλασιν εὖ μάλα διηρθρωμένος· σκυθρωπὸς δέ τις
build well very jointed sullen and somewhat
καὶ θηριώδης ἐδείκνυτο. θατέρῳ δὲ τῶν ὤτων χρύσειον
and savage he-appeared on-the-one and of-the ears golden
ἐξῆπτο ἐνώτιον, δυσὶ μαργάροις κεκοσμημένον, ἄνθρακος
was-fastened earring with-two pearls adorned of-carbuncle
λίθου αὐτοῖς μεσιτεύοντος. ἐσθὴς τούτῳ λευκή, οὐδέν τι
of-stone them being-between clothing for-him white nothing at-all
τῶν ἑτέρων ὑπαλλάττουσα ἢ καθαρότητι. ὀλίγα γοῦν
from-the others differing than in-cleanness few at-any-rate
ἅττα περὶ διαλλαγῆς τῷ βασιλεῖ ἐντυχών, παρὰ τὸν
things about reconciliation with-the emperor having-conversed by the
ζυγὸν τοῦ ἀκατίου ἐφεζόμενος, ἀπηλλάττετο. ἀλλ᾽ ὁ μὲν
thwart of-the boat sitting departed but the indeed
τῶν Ῥωμαίων πρὸς Σκύθας πόλεμος ὧδε ἐτελεύτα.
of-the Romans against Scythians war thus ended

12 Ὁ δὲ Σφενδοσθλάβος, τὸ Δορύστολον ἀπολιπὼν καὶ
— and Sphendosthlavos — Dorystolon having-left and
τοὺς αἰχμαλώτους προσεπιδοὺς κατὰ τὰς σπονδάς,
the captives having-handed-over-besides according-to the treaty
ἀπέπλει μετὰ τῶν περιλειφθέντων ἑταίρων, ἐπὶ τὴν
sailed-off with the remaining companions to the
πατρίδα ἰέμενος. Πατζινάκαι δὲ παρὰ τὸν ἀπόπλουν
fatherland heading Patzinaks and at the sailing-away
ἐλλοχήσαντες, ἔθνος νομαδικὸν τοῦτο καὶ πολυάνθρωπον,
having-lain-in-ambush people nomadic this and populous
φθειροφάγον τε καὶ φερέοικον, ἐπ᾽ ἁμαξῶν ὡς τὰ πολλὰ
louse-eating both and house-carrying on wagons as the most(-part)
βιωτεῦον, σχεδὸν διέφθειραν ἅπαντας, καὶ αὐτὸν δὲ τὸν
living almost destroyed all and himself too —

Σφενδοσθλάβον τοῖς λοιποῖς συγκατέσφαξαν, ὡς ἐκ τῆς
Sphendosthlavos with-the rest slaughtered so-that from the
τοσαύτης τῶν Ῥῶς στρατιᾶς εὐαριθμήτους ἀνασωθῆναι ἐς
so-great of-the Rus army easily-counted to-have-got-safe-back to
ἤθη τὰ πάτρια. Ἰωάννης δὲ ὁ αὐτοκράτωρ, ἐν τέτταρσιν
haunts the ancestral John and the emperor in four
ὅλοις μησὶ τὴν Ῥωσικὴν πανοπλίαν καταγωνισάμενος,
whole months the Rus full-army having-overcome
ὡς φθάσας ὁ λόγος δεδήλωκε, καὶ τὴν Μυσίαν
as having-gone-before the account has-shown and — Mysia
Ῥωμαίοις ἀνασωσάμενος, τό τε Δορύστολον Θεοδωρούπολιν
for-Romans having-recovered — and Dorystolon Theodoroupolis
ἐπ᾽ ὀνόματι τοῦ στρατηλάτου καὶ μάρτυρος Θεοδώρου
after name of-the general and martyr Theodore
μετονομάσας, φυλακήν τε ἀξιόμαχον ταύτῃ παραλιπών,
having-renamed garrison and fit-for-battle in-it having-left
μετὰ μεγίστων τροπαίων ἐπάνεισιν ἐπὶ τὸ Βυζάντιον,
with greatest trophies returns to — Byzantium
τοὺς ἀστικοὺς πρὸ τῶν περιβόλων κατειληφώς, στεφάνοις
the townsmen before the circuit-walls having-found with-crowns
αὐτὸν καὶ σκήπτροις δεξιουμένους, ἐκ χρυσοῦ καὶ λίθων
him and scepters welcoming from gold and stones
ἐξειργασμένοις πολυτελῶν. ἦγον δὲ καὶ χρυσοκόλλητον
wrought costly they-brought and also gold-soldered
λευκόπωλον ἅρμα· οὗ προσεπιβῆναι τοῦτον ἠξίουν, καὶ
white-horsed chariot which to-mount him they-asked and
τὸν νενομισμένον καταγαγεῖν θρίαμβον. ὁ δὲ τοὺς μὲν
the customary to-celebrate triumph he and the indeed
στεφάνους καὶ τὰ σκῆπτρα προσήκατο, καὶ πολλαπλασίως
crowns and the scepters accepted and many-times-over
τούτους δώροις ἠμείψατο· ἐπιβῆναι δὲ τοῦ ἅρματος οὐκ
them with-gifts repaid to-mount but the chariot not

ἠνέσχετο· ἀλλὰ τὴν τῆς θεομήτορος εἰκόνα, ἐνηγκαλισμένην
he-endured but the of-the mother-of-God image holding-in-her-arms
τὸν θεάνθρωπον λόγον, ἣν ἐκ Μυσίας εἴληφεν, ἐπὶ τὸν
the God-man Word which from Mysia he-had-taken on the
τοῦ ἅρματος χρυσήλατον θρόνον ἀνέθηκε, τὰς ἁλουργοὺς
of-the chariot gold-wrought throne set-up the purple
τῶν Μυσῶν στολὰς ὑποθείς, καὶ τὰ στέμματα.
of-the Mysians robes having-placed-beneath and the crowns
αὐτὸς δέ, ἵππῳ κέλητι ἐποχούμενος, μετόπισθεν εἵπετο,
himself and on-a-horse a-racer riding behind followed
τεταινιωμένος τὴν κεφαλὴν διαδήματι, καὶ τοὺς στεφάνους
bound the head with-a-diadem and the crowns
φέρων καὶ τὰ σκῆπτρα ἐν ταῖς χερσίν. οὕτω τὸν θρίαμβον
carrying and the scepters in the hands thus the triumph
καταγαγὼν διὰ μέσης τῆς πόλεως, ἐσθήσεσιν ἁλουργοῖς
having-celebrated through middle of-the city with-garments purple
κεκοσμημένης ἑκασταχοῦ, καὶ δίκην θαλάμου τοῖς τε
adorned on-every-side and like a-chamber with-the both
τῶν δαφνῶν κλάδοις καὶ τοῖς χρυσοϋφέσι πέπλοις οὔσης
of-the laurels branches and with-the gold-woven robes being
συνηρεφοῦς, ἐς τὸν μέγαν τῆς τοῦ Θεοῦ Σοφίας εἰσελαύνει
roofed-over into the great of-the — of-God Wisdom he-drives-into
σηκόν· καὶ τὰς εὐχαριστηρίους εὐχὰς ἀποδούς, τό τε τῶν
precinct and the of-thanksgiving prayers having-rendered the and of-the
Μυσῶν ἐκπρεπέστατον στέφος οἱονεὶ πρωτόλειον δῶρον
Mysians most-splendid crown as-it-were first-fruits gift
τῷ Θεῷ καταθέμενος, εἰς τὴν ἀνακτορικὴν ἑστίαν φοιτᾷ,
— to-God having-dedicated into the palace hearth goes
καὶ τῶν Μυσῶν βασιλέα Βορὴν παραγαγὼν τὰ τῆς
and of-the Mysians king Boris having-brought-forward the of-the
βασιλείας ἀποθέσθαι παράσημα παρεσκεύασε. τὰ δὲ ἦν
kingship to-lay-aside insignia caused these and were

τιάρα περιπόρφυρος, χρυσῷ καὶ μαργάροις κατάστικτος,
tiara purple-bordered with-gold and pearls studded
ἐσθής τε ἁλουργός, καὶ πέδιλα ἐρυθρά. τοῦτον δὲ τῷ
garment both purple and sandals red him and with-the
τῶν Μαγίστρων τετίμηκεν ἀξιώματι. τοιαῦτα ἐν εὐαριθμήτῳ
of-the Magistroi he-honored rank such in easily-counted
καιρῷ παρὰ πᾶσαν ὑπόνοιαν ὁ αὐτοκράτωρ Ἰωάννης
time beyond all expectation the emperor John
διαπραξάμενος τρόπαια, τήν τε Ῥωσικὴν αὐθάδειαν καὶ
having-accomplished trophies the both Rus arrogance and
τὰ ἐπηρμένα τούτων φρονήματα ἐμπειρίᾳ πολέμων καὶ
the exalted their thoughts by-experience of-wars and
λελογισμένης ἀνδρείας τόλμῃ καταβαλὼν καὶ κατασπάσας
of-reasoned courage by-daring having-cast-down and having-pulled-down
εἰς γῆν, καὶ τὴν Μυσίαν Ῥωμαίοις καθυποτάξας, παρὰ τὸ
to earth and — Mysia to-Romans having-subjected to —
Βυζάντιον ἐπανελθὼν διεχείμαζε, καὶ τὸ ὑπήκοον δώροις, ὡς
Byzantium having-returned wintered and the subjects with-gifts as
εἰκός, ἐφιλοφρονεῖτο, καὶ θαλείαις ἐθεράπευεν ἑστιάσεσιν.
likely treated-kindly and with-festive entertained banquets

BOOK X

XXV · THE EASTERN CAMPAIGN; THE PATRIARCHS

John crosses the Euphrates, where the under-secretary Niketas, who disobeyed his father, drowns. He takes ransom from Emet and gifts from Miepharkim and finds Nisibis, which bishop James once saved from the Persians with gnats, deserted; the desert turns him back from Ecbatana, and he returns to Byzantium in triumph. The patriarch Basil, accused of foretelling the throne to a magnate, refuses to answer except before a council and is exiled to his monastery; Antony of the Stoudios succeeds him. Leo describes Cappadocian twins joined at the side. In spring John marches through Palestine, finds the Savior's sandals and the Baptist's hair at Mempetze, takes Apameia, receives the surrender of Damascus, takes Borzo and Balanaiai, and besieges Berytos.

1 Θερείας δὲ ὥρας ἐνισταμένης, καὶ σταθηρᾶς αἰθρίας
of-summer and season setting-in and steady clear-sky
κατὰ τὴν περίγειον ἡπλωμένης, τοῦ Βυζαντίου ἀπάρας
over the earth spread-out — from-Byzantium having-set-out
ὁ αὐτοκράτωρ κατὰ τῶν Ἀγαρηνῶν, τῶν τὴν ἄνω
the emperor against the Hagarenes the(-ones) the upper
Συρίαν οἰκούντων, ἐστράτευσε. καὶ δῆτα τὴν μεσογαίαν
Syria inhabiting campaigned and indeed the inland
περιοδεύσας, τὸν Εὐφράτην ἐπεραιώθη. μέγιστος δὲ οὗτος
having-traversed the Euphrates crossed greatest and this
τῶν τὴν Ἀσίαν διατεμνόντων ποταμῶν, καὶ εἷς τῶν
of-the — Asia cutting-through rivers and one of-the
ἐκ τῆς Ἐδὲμ ὁρμωμένων, ὡς ἐκ τῆς θείας γραφῆς
τῷ Ὀλύμπῳ παρακειμένην τῆς Ἀτρώας πεδιάδα ὁ βασιλεὺς
— to-Olympos lying-near — of-Atroa plain the emperor
ἀφικόμενος, πρὸς τὴν τοῦ πατρικίου Ῥωμανοῦ καὶ τῷ τοῦ
having-arrived at the of-the patrikios Romanos and in-the of-the
Σεβαστοφόρου διαπρέποντος ἀξιώματι ἑστίαν κατήγετο.
Sebastophoros distinguished rank house lodged
ἐνταῦθα λέγεταί τινα τῶν ἐξυπηρετουμένων ἐκτομίαν τῷ
there it-is-said some of-the serving eunuch the
αὐτοκράτορι, εἴτε οἴκοθεν δυσμενῶς πρὸς αὐτὸν διακείμενον,
emperor either of-himself hostilely toward him disposed
εἴτε καὶ πρὸς τούτων, τοῖς καλοῖς βασκαινόντων καὶ
or also by these the good(-things) envying and
μεταβολὰς τῶν πραγμάτων ἱμειρομένων ὁρᾶν, ὑπαχθέντα,
changes of-the affairs desiring to-see having-been-induced
καὶ ὑποσχέσεσι δωρεῶν παρακλαπέντα (ὅπερ δὴ τοῦ
and by-promises of-gifts having-been-beguiled which indeed than-the

προτέρου μᾶλλον καὶ λέγεται καὶ πιστεύεται), δηλητήριον
former more both is-said and is-believed poison
κερασάμενον παρὰ τὸν πότον ἐπιδοῦναι τῷ βασιλεῖ·
having-mixed at the drinking to-have-given to-the emperor
τὸν δέ, μηδέν τι τοιοῦτον φρασάμενον, ὡς σωτήριον
him and nothing at-all such having-suspected as saving
πόμα τὸ δηλητήριον ἐκπιεῖν. τῇ γοῦν ὑστεραίᾳ
drink the poison to-have-drunk-off on-the at-any-rate next-day
νάρκη τε τῶν μελῶν καὶ πάρεσις τοῦ παντὸς σώματος
numbness both of-the limbs and paralysis of-the whole body
αὐτῷ ἐξεγένετο, καὶ ἡ τῶν ἰατρῶν ἐπιστήμη τῷ ἀθρόῳ
to-him came-about and the of-the physicians knowledge at-the suddenness
τοῦ πάθους κενή τις καὶ ἄπρακτος ἀπηλέγχετο, μὴ
of-the affliction empty some and ineffective was-shown not
ἀκριβοῦσα διάγνωσιν τοῦ τοιούτου συμπτώματος. ὁ
attaining diagnosis of-the such symptom the
δὲ βασιλεύς, τὴν πρότερον ἐνοῦσαν αὐτῷ γιγαντώδη
and emperor the formerly being-in him giant-like
ῥώμην αἰφνίδιον καταβληθεῖσαν αἰσθόμενος, ἠπείγετο
strength suddenly cast-down perceiving hastened
καταλαβεῖν τὸ Βυζάντιον· ἐπέσπευδε δὲ καὶ τὴν ἐν τῷ
to-reach — Byzantium hurried and also the in the
τοῦ Σωτῆρος νεῷ, ὃν αὐτὸς ἐδείματο, κατασκευαζομένην
of-the Savior temple which himself had-built being-prepared
τῷ σωματίῳ τούτου σορὸν ἀπαρτισθῆναι ὡς τάχιστα.
for-the body his coffin to-be-completed as quickly-as-possible
συντείνας δὲ τὴν ὁδοιπορίαν, ἐς τὴν βασιλεύουσαν
having-pressed-on and the journey to the reigning(-city)
ἧκε, φιλοφρόνως μὲν ὑποδεχθεὶς πρὸς τῶν ἀστικῶν,
came kindly indeed received by the townsmen
ὀλιγοδρανέων δὲ ἤδη, καὶ ἆσθμα μύχιον καὶ δυσπρόσοδον
feeble and already and breath deep-within and hard-of-access

περιπνέων καὶ ἀναπεμπόμενος. ἄρτι δὲ εἰς τὴν ἀνακτορικὴν
breathing and sending-up just and into the palace
ἑστίαν πεφοιτηκώς, κλινοπετὴς ἐδείκνυτο, τῷ φαρμάκῳ
hearth having-come bedridden he-appeared by-the drug
καταπονούμενος. συνιεὶς δέ, ὡς οὐκ ἂν ἀνασφήλῃ τοῦ
being-worn-down perceiving and that not — he-would-recover from-the
τοιούτου πτώματος (τὸ γὰρ ἐνδομυχοῦν δεινὸν τὰ ἔγκατα
such fall the for lurking-within evil the entrails
χαλεπῶς ἐξεθέριζε), τῶν βασιλικῶν θησαυρῶν ἀφειδῶς
grievously was-reaping of-the imperial treasures unsparingly
ἀπαντλῶν, διεδίδου τοῖς πένησι, καὶ μάλιστα τοῖς
drawing-out he-distributed to-the poor and most to-the(-ones)
λελωβημένοις καὶ βεβρωμένα τῇ ἱερᾷ νόσῳ τὰ σώματα
maimed and eaten-away by-the holy disease the bodies
περιφέρουσιν, οἷς τῶν ἄλλων πενήτων φιλανθρωπότερον
carrying-about to-whom than-the other poor more-humanely
διετίθετο. Νικόλαόν τε, τὸν πρόεδρον Ἀδριανουπόλεως,
he-was-disposed Nicholas and the proedros of-Adrianople
εἰσκαλέσας, ἄνδρα θεῖόν τε καὶ σεβάσμιον, τὰ κατὰ
having-summoned a-man divine both and venerable the in
τὸν βίον αὐτῷ ἀνεκάλυψεν ἀγνοήματα, κρουνοὺς τῶν
the life to-him revealed ignorances streams of-the
ὀφθαλμῶν δακρύων ἐπαφιείς, καὶ τῷ τούτων λουτῆρι
eyes of-tears sending-forth and with-the their bath
τὰ αἴσχη καὶ τὰ ῥυπάσματα τῶν ἐσφαλμένων ῥυπτόμενος,
the shames and the filths of-the faults washing
καὶ τὴν Θεοτόκον ἐπιβοώμενος, ἀρωγὸν εὑρεῖν ἐν ἡμέρᾳ
and the God-bearer calling-upon a-helper to-find in day
τῆς δίκης, ὁπηνίκα παρὰ τῷ υἱῷ αὐτῆς καὶ Θεῷ
of-the judgment when before the son her and God
τὰ τῶν βροτῶν πρακτέα τοῖς ἀδεκάστοις ζυγοῖς καὶ
the of-the mortals deeds by-the incorruptible scales and

σταθμοῖς ταλαντεύεται. τοιαύτην ἐξ ἀδιστάκτου γνώμης
weights are-weighed such from undoubting mind
καὶ συντετριμμένης ψυχῆς τὴν ἐξομολόγησιν ὁ βασιλεὺς
and contrite soul the confession the emperor
ποιησάμενος, τῶν τῇδε μεθίσταται, καὶ πρὸς τὴν
having-made from-the(-things) here departs and to the
ἐκεῖσε μεταβαίνει κατάπαυσιν ἐν μηνὸς Ἰανουαρίου δεκάτῃ,
there passes-over rest in of-month January tenth
ἰνδίκτου δ΄, ἔτους ͵υπε΄, ταφεὶς ἐν τῷ κατὰ τὴν Χαλκῆν
of-indiction 4 of-year 6485 buried in the at the Chalke
τοῦ Σωτῆρος νεῷ, ὃν ἐκεῖνος μεγαλοπρεπῶς ἐκ βάθρων
of-the Savior temple which he magnificently from foundations
ἐδείματο. τοιοῦτον εὗρε τὸ τέλος ὁ αὐτοκράτωρ Ἰωάννης
built such found the end the emperor John
τῆς αὐτοῦ βιοτῆς, ἀνὴρ βραχὺς μὲν τὴν ἡλικίαν τοῦ
of-the his life a-man short indeed the stature of-the
σώματος, ἡρωϊκὴν δέ τινα περιφέρων ἰσχύν, γενναῖός τις
body heroic but some carrying-about strength noble someone
γεγονὼς ἐν πολέμοις καὶ ἀκαταγώνιστος, καὶ πρὸς τοὺς
having-been in wars and invincible and toward the
κινδύνους εὔψυχος καὶ μεγαλότολμος· ζήσας μὲν τὸν
dangers stout-hearted and greatly-daring having-lived indeed the
πάντα χρόνον τῆς αὐτοῦ βιοτῆς ἔτη πεντήκοντα πρὸς
all time of-the his life years fifty in-addition-to
τῷ ἑνί, ἰθύνας δὲ τὴν τῆς βασιλείας ἡγεμονίαν εἰς
the one having-directed and the of-the empire leadership for
ἐνιαυτοὺς ἕξ, πρὸς ἡμέραις τριάκοντα.
years six in-addition-to days thirty

NIKEPHOROS PHOKAS

ΠΕΡΙ ΠΑΡΑΔΡΟΜΗΣ ΠΟΛΕΜΟΥ

Skirmishing

Lest time destroy it, the author sets down the method of skirmishing, though it is little needed in the East now that Christ has blunted the sons of Ishmael: with few men the generals of the frontier did what the whole army could not, in the days of the Cilicians and Chambdas. He learned it from Bardas the Caesar; Constantine Meleinos and the emperor Nikephoros used it too, and Nikephoros bade him write it down. Lookouts are to be posted three or four miles apart in the mountain passes, relieved every fifteen days, and moved often; beacon-posts and spies, trapezitai and tasinarioi, warn of the enemy. When the enemy moves, the general must seize the heights and block the roads, so that the raiders turn back or go round by a longer road.

Τὴν τῆς παραδρομῆς μέθοδον παραδοῦναι βουλόμενοι,
the of-the skirmishing method to-hand-down wishing
εἰ τάχα καὶ κατὰ τὸν παρόντα καιρὸν μὴ χρειώδης
if perhaps even at the present time not useful
ἐστὶν εἰς τὰ τῆς ἕω μέρη, ἅτε Χριστοῦ, τοῦ ἀληθινοῦ
it-is for the of-the east parts since Christ the true
Θεοῦ ἡμῶν, τὸ πολὺ τῆς καθ' ἡμῶν δυνάμεως καὶ
God our the great(-part) of-the against us power and
ἰσχύος τῶν τοῦ Ἰσμαὴλ ἐκγόνων ἀμβλύναντος, καὶ τὰς
strength of-the — of-Ishmael descendants having-blunted and the
ἐφόδους αὐτῶν ἀναχαιτίσαντος· ἀλλ' οὖν, ἵνα μὴ τὴν
attacks their having-checked but nevertheless so-that not the
λήθην καὶ ἄγνοιαν ἐπεισαγαγὼν ὁ χρόνος φθείρῃ
forgetfulness and ignorance having-brought-in the time should-destroy
τὸ ταύτης ἐπωφελὲς καὶ ἐξαφανίζῃ, δεῖν ᾠήθημεν
the its usefulness and should-make-vanish to-be-needful we-thought
γραφῇ παραδοῦναι ταύτην· ἵν', εἴ ποτε ταύτης δεήσει
to-writing to-hand-over it so-that if ever of-it there-will-be-need
Χριστιανοῖς, καιροῦ τινος πρὸς τὸ μέλλον καλοῦντος,
for-Christians time some for the future calling

ἕτοιμός ἐστι συνεργὸς ἀγαθὴ τῷ τε κοινῷ παντί, καὶ
ready it-is helper good to-the both common whole and
τοῖς αὐτὴν μεταχειριζομένοις. ἡμεῖς γοῦν ταύτην οὐ
to-the(-men) it handling we at-any-rate it not
μονονοὺκ ἀκοῇ παρειλήφαμεν, ἀλλὰ καὶ πεῖράν τινα παρ᾽
only by-hearsay have-received but also experience some from
αὐτῆς ἐδιδάχθημεν· τὸ μέν, αὐτοὺς σχόντες διδασκάλους
it were-taught — indeed ourselves having-had teachers
καὶ παιδευτὰς τοὺς ταύτην, σχεδὸν εἰπεῖν, ἐφευρόντας
and instructors the(-men) it almost to-say having-invented
τὴν μέθοδον· τὸ δέ, καὶ αὐτοὶ μόνοι ταύτῃ χρησάμενοι,
the method — and also ourselves alone it having-used
καὶ πεῖραν αὐτῆς ἐγκολπωσάμενοί τινα, κατὰ τὸ ἡμῖν
and experience of-it having-taken-to-heart some according-to the for-us
ἐφικτόν. αὕτη τοίνυν κατὰ τοῦτο ἔχει τὸ χρήσιμον, ὅτι περ,
attainable this therefore in this has the usefulness that indeed
οἳ ταύτην μετήλθοσαν, μετ᾽ ὀλίγου μαχίμου λαοῦ μέγιστα
who it pursued with few warlike troops very-great
καὶ ἀξιομνημόνευτα ἐξετέλεσαν ἔργα. καὶ γάρ, ἅτινα μὴ
and memorable accomplished deeds and for which not
κατορθῶσαι ἴσχυσεν ἢ ἐτόλμησεν ἡ Ῥωμαίων σύμπασα
to-achieve was-able or dared the of-Romans whole
στρατιά, ὅτε τὰ τῶν Κιλίκων καὶ τοῦ Χαμβδᾶ
army when the(-affairs) of-the Cilicians and — of-Chambdas
ἤκμαζεν, εἷς ἐνίοτε τῶν ἀρίστων στρατηγῶν, σὺν μόνῳ
flourished one sometimes of-the best generals with alone
τῷ τοῦ ὑπ᾽ αὐτὸν θέματος λαῷ, φρονίμως καὶ ἐμπείρως
the of-the under him theme troops prudently and skillfully
τοὺς πολεμίους ἐπιτηδευσάμενος, καὶ συνετῶς διατεθεὶς καὶ
the enemies having-handled and wisely disposed and
στρατηγήσας, ἀπήρτισε. τοῦτο δέ φαμεν, οὐχ ὅτι τοῦ
having-been-general completed this and we-say not because than-the

πλείονος τὸ ὀλίγον προκρίνομεν μάχιμον· οὐδ' ὅτι ταύτην
greater the small we-prefer fighting(-force) nor because it
ἐξαίρομεν τῶν λοιπῶν στρατηγημάτων καὶ ἐπιτηδευμάτων
we-exalt above-the other stratagems and practices
τῆς τακτικῆς· ἀλλ' ὅτι στρατηγῶν τοῖς ἀρίστοις αὕτη
of-the tactics but because of-generals for-the best this
συνεργὸς ἀρίστη καθέστηκεν· ἵν', ὅτε μὴ κατὰ πρόσωπον
helper best has-become so-that when not to face
τοῖς πολεμίοις ἀντιτάττεσθαι δύναιντο, ταύτῃ τῇ μεθόδῳ
the enemies to-array-against they-might-be-able this the method
χρώμενοι, ἀβλαβεῖς τε ἑαυτοὺς καὶ τὴν ἰδίαν συντηροῖεν
using unharmed both themselves and the own might-preserve
χώραν. ταύτην Βάρδας ὁ μακαρίτης Καῖσαρ, ὅσα
country this Bardas the late Caesar as-far-as
ἐμὲ γινώσκειν, εἰς ἄκρον κατώρθωκε, καὶ παντελῶς
I to-know to height achieved and wholly
ἀφανισθεῖσαν ἀνενεώσατο (ἵνα μὴ τοὺς παλαιοὺς τῶν
having-vanished renewed so-that not the old of-the
στρατηγῶν ἀπαριθμῶ καθ' ἕκαστον, μόνους δὲ τοὺς πᾶσι
generals I-enumerate by each only and the(-ones) to-all
γνωρίμους καὶ καθ' ἡμᾶς)· ὃς ἐν τοῖς γειτονοῦσι τῇ Ταρσῷ
known and in our(-time) who in the bordering — Tarsus
θέμασι, τῇ τε Καππαδοκίᾳ καὶ τῷ Ἀνατολικῷ στρατηγῶν,
themes the both Cappadocia and the Anatolikon as-general
μυριάκις τὰς τῶν Ταρσέων καὶ λοιπῶν Κιλίκων δυνάμεις
ten-thousand-times the of-the Tarsians and other Cilicians forces
ἐτραυμάτισε, καὶ μέγιστα κατ' αὐτῶν ἀνεστήσατο τρόπαια.
wounded and greatest against them set-up trophies
παρ' οὗ καὶ ἡμεῖς ταύτην γυμνασθέντες τὴν μέθοδον,
from whom also we this having-been-trained-in the method
τὴν ταύτης κἂν ποσῶς παρειλήφαμεν πεῖραν. πρὸς
the of-it even somewhat have-received experience in-addition-to

τούτῳ καὶ Κωνσταντῖνος Πατρίκιος, ᾧ Μελεϊνὸς
this also Constantine Patrikios to-whom Meleinos
ἐπίκλησις, χρόνους πλείστους Καππαδοκῶν στρατηγήσας
surname times very-many of-Cappadocians having-been-general
καὶ ταύτην συνεργὸν ἔχων, οὐκ ἐλάχιστα ἀπειργάσατο
and this helper having not least accomplished
κατορθώματα. σὺν τούτοις καὶ ὁ κύριος Νικηφόρος, ὁ
successes with these also the lord Nikephoros the
ἀοίδιμος βασιλεύς, ταύτην ἄκρως μετῆλθεν· ὃς δήπου
celebrated emperor this supremely pursued who indeed
στρατηγῶν, καὶ ταύτῃ χρώμενος, πάμπολλα καὶ ἀξιάγαστα
as-general and this using very-many and admirable
ἔργα πεποίηκε, μυριάκις, ὡς εἰπεῖν, τοὺς πολεμίους
deeds has-done ten-thousand-times so to-say the enemies
τρεψάμενος, καὶ μέγιστα τούτων στρατεύματα κατακόψας.
having-routed and very-great their armies having-cut-down
οὗ τὰς ἀριστείας, καθ' ὃν ἐστρατήγει καιρόν, συγγράφειν
whose the exploits in which he-was-general time to-write
ἢ ἀπαριθμεῖσθαι, ὀχληρὸν ἔσται τοῖς ἐντυγχάνουσι,
or to-enumerate burdensome will-be to-the(-ones) reading
διά τε τὸ ὑπερβάλλον πλῆθος, καὶ τὸ παρὰ πολλῶν
because-of both the excessive multitude and the by many
γινώσκεσθαι. ὃς ταύτην ἔργῳ μεμαθηκὼς εὔχρηστον
to-be-known who it by-deed having-learned useful
οὖσαν, ἐγγράφως πρὸς κοινὴν λυσιτέλειαν, πῶς δεῖ
being in-writing for common benefit how one-must
χρῆσθαι ταύτῃ, ἐξέθετο· κἀμοὶ παρηγγύησε, καθ' ὅσον
to-use it set-out and-to-me enjoined as-far as
οἷόν τε ἀκριβῶς περὶ αὐτῆς συγγράψαι, καὶ παραδοῦναι
possible — exactly about it to-write and to-hand-down
τοῖς μεθεξῆς. μὴ μόνον δὲ περὶ ταύτης τῆς τῇ ἕῳ
to-the(-ones) after not only and about this the for-the east

προσηκούσης, ἀλλὰ καὶ περὶ τῆς τῇ ἑσπέρᾳ ὠφελίμου
fitting but also about the for-the west useful
καθεστηκυίας· διὰ τὸ ἐν αὐτῇ πλεῖστά τε στρατηγῆσαι,
being because-of the in it very-many both to-have-been-general
καὶ πεῖραν, ὅσον οἷόν τε ἦν, φύσει τῇ ἡμετέρᾳ
and experience as-much-as possible — was by-nature the our
ἀθροῖσαι. ἀλλὰ περὶ ἐκείνης μὲν ἰδίᾳ καὶ ἐν ἄλλοις
to-have-gathered but about that indeed separately and in other(-places)
εἰρήσεται· νυνὶ δὲ σκοπὸς ἡμῖν περὶ τῆς ἑτέρας διαλαβεῖν.
will-be-told now and aim for-us about the other to-treat
ὅθεν καὶ τὴν ἐκείνου τηρῶν ἐντολήν, συνεργῷ τῇ τοῦ
whence also the his keeping command helper the —
Θεοῦ χάριτι χρώμενος, ἥτις ἐν ἅπασι συνεπιλαμβάνεται
of-God grace using which in all-things lends-a-hand
τοῖς καλοῖς, ὧδέ πως ἀπάρχομαι τῆς ὑποθέσεως.
to-the good(-things) thus somehow I-begin the subject
Περὶ βιγλῶν, καὶ πόσον διάστημα ὀφείλουσιν ἀπ᾽ ἀλλήλων 1
about watch-posts and how-much distance they-ought from one-another
μία ἑκάστη διΐστασθαι.
one each to-stand-apart
Τοὺς τῶν μεγάλων καὶ ἀκριτικῶν θεμάτων τὴν πρόνοιαν
the(-men) of-the great and frontier themes the care
ἀναδεχομένους, καὶ ὑπὸ τὴν αὐτῶν ἐπικράτειαν τὰς
taking-up and under the their authority the
κλεισούρας ἔχοντας, πάσῃ μηχανῇ, καὶ προθέσει, καὶ
kleisouras having by-every means and purpose and
ἀγρύπνῳ ἐπιμελείᾳ προσήκει σπουδάζειν καὶ ἀγωνίζεσθαι,
sleepless diligence it-befits to-be-zealous and to-strive
τὰς τῶν Ῥωμαίων χώρας διαφυλάττειν τῆς τῶν
the of-the Romans lands to-keep from-the of-the
πολεμίων ἐπιδρομῆς ἀσινεῖς καὶ ἀνεπηρεάστους, βιγλάτορας
enemies incursion unharmed and unmolested lookouts

ἐφιστῶντας ῥωμαλέους καὶ ἐπιτηδείους, καὶ τὰς ὁδοὺς εἰς
setting-over strong and suitable and the roads to
ἄκρον ἐπισταμένους. καὶ εἰ μὲν ὄρη εἰσὶν ὑψηλὰ καὶ
height knowing and if indeed mountains there-are high and
δύσβατα διορίζοντα τὴν πολεμίαν, ἐν τούτοις τὰς βίγλας
hard-to-pass bounding the enemy(-land) in these the watch-posts
ἵστασθαι· ἀπέχειν δὲ τὰς στάσεις τῶν βιγλατόρων ἄχρι
to-be-set to-be-distant and the stations of-the lookouts up-to
μιλλίων γ′ ἢ δ′. καὶ ἡνίκα τοὺς ἐχθροὺς ἐξερχομένους
miles 3 or 4 and when the enemies coming-out
θεάσονται, δρομαίως ἀπέρχεσθαι εἰς τὸ ἕτερον στασίδιον,
they-will-see at-a-run to-go-off to the other post
καὶ ἀπαγγέλλειν ἃ ἐθεάσαντο, κἀκείνους πάλιν πρὸς τὸ
and to-report what they-saw and-those again to the
ἕτερον στασίδιον σπουδῇ πολλῇ· καὶ οὕτω καθεξῆς μηνύεσθαι
other post with-haste much and thus in-order to-be-informed
τὰ τῶν καβαλλαρίων στασίδια εἰς τοὺς ἐφωμάλους τόπους
the of-the horsemen posts in the level places
ἱστάμενα, καὶ δι᾽ αὐτῶν ἀναμανθάνειν τὸν στρατηγὸν
standing and through them to-learn the general
τὴν τῶν ἐθνῶν ἔφοδον. καρτερεῖν δὲ αὐτοὺς ἡμέρας
the of-the peoples attack to-endure and them days
πεντεκαίδεκα ἐν τῇ τῶν ὁδῶν φυλακῇ, ἐπιφερομένους καὶ
fifteen in the of-the roads guard carrying also
τὴν διαρκοῦσαν αὐτοῖς τροφὴν τῶν αὐτῶν ἡμερῶν· εἶθ᾽
the sufficient for-them food of-the same days then
οὕτως ἀπέρχεσθαι ἑτέρους εἰς τὴν τούτων ὑπαλλαγήν,
thus to-go-off others to the their relief
καλῶς ἀδνουμιαζομένους καὶ εὐτρεπιζομένους παρὰ τῶν
well mustered and made-ready by the
ἀρχόντων, καὶ σῴους καὶ ἀνελλιπεῖς κατὰ τὸν τυπωθέντα
officers and safe and complete according-to the prescribed

ἀριθμὸν ἀποστελλομένους, καὶ μὴ δι᾽ αἰσχρὸν κέρδος
number being-sent and not for shameful gain
οἴκοι καθέζεσθαι παρὰ τῶν ἀρχόντων αὐτῶν ἐαθῶσιν.
at-home to-sit by the officers their let-them-be-allowed
ἔξεστι δὲ τοὺς βιγλάτορας ἀφορᾷν, ἐν οἷς ἄπληκτα
it-is-permitted and the lookouts to-look-out in which encampments
τῶν πολεμίων ἁρμόζει γίνεσθαι, ἐν οἷς ὕδωρ ἐστὶ διαρκές,
of-the enemies it-is-fitting to-be in which water is sufficient
καὶ τόπος ἐφώμαλος· ἑτέρους δὲ βλέπειν, ἐν οἷς ἡ ὁδὸς
and place level others and to-watch in which the road
ἀποτελεῖ στένωμα· ἄλλους δέ, ὅπου ποταμὸς ὑπάρχει
forms a-narrow-pass others and where a-river is
δυσπέρατος. καὶ τούτων οὕτως ἀσφαλῶς φυλαττόντων, οὐ
hard-to-cross and these thus safely guarding not
δυνήσονται οἱ πολέμιοι λάθρα ποιήσασθαι τὴν ἐξέλευσιν.
will-be-able the enemies secretly to-make the coming-out
ἀποστέλλειν τε πιστοὺς ἀνθρώπους καὶ ἐμπειροτάτους,
to-send and trustworthy men and most-experienced
τοῦ ἐφορᾷν αὐτούς, εἴ γε καλῶς καὶ ἀγρύπνως
for-the to-oversee them whether at-least well and sleeplessly
τὰ κατατόπια αὐτῶν διαφυλάττουσι. καὶ οἱ τυπωθέντες
the stations their they-guard and the prescribed
βιγλάτορες σῷοι τῷ ἀριθμῷ καὶ μὴ ἐλλιπεῖς ἀπέρχωνται,
lookouts safe in-the number and not deficient go-off
καὶ μὴ καταλιμπάνωσι τὰς στάσεις αὐτῶν, ἐν αἷς βλέπειν
and not leave the stations their in which to-watch
καὶ φυλάττειν τὰς ὁδοὺς ἐτάχθησαν, μήτε χρονίζειν ἐπὶ τοῖς
and to-guard the roads they-were-assigned nor to-linger at the
αὐτῶν στασιδίοις, ἀλλ᾽ ἐναλλάσσειν τοὺς τόπους καὶ ἀλλαχοῦ
their posts but to-exchange the places and elsewhere

μεταβαίνειν· ἵνα μὴ ἐπὶ πολὺ ἐγχρονίζοντες τοῖς αὐτοῖς
to-move so-that not for long lingering in-the same
τόποις, διαγινωσκόμενοι εὐάλωτοι γίνωνται τοῖς ἐχθροῖς.
places being-recognized easy-to-capture they-become to-the enemies

2 Περὶ τῶν καμινοβιγλίων καὶ κατασκόπων.
about the beacon-posts and spies

Ἀναγκαία δὲ ἡ τῶν καμινοβιγλατόρων ὑπάρχει ὠφέλεια·
necessary and the of-the beacon-watchers is usefulness
καὶ χρὴ τὸν στρατηγὸν καὶ τούτων πολλὴν ποιεῖσθαι
and must the general also of-these much to-make
τὴν ἐπιμέλειαν, καὶ ἐν ἐπιτηδείοις τόποις ἐφιστᾷν τὰ
the care and in suitable places to-set the
καμινοβίγλια· ὅπως, ἡνίκα κίνησις τῶν ἐχθρῶν γένηται, καὶ
beacon-posts so-that when movement of-the enemies happens both
οἱ βιγλάτορες ταύτης αἴσθωνται διὰ τῶν καμινοβίγλων,
the lookouts it perceive through the beacon-posts
καὶ ὁ στρατηγὸς τὴν ἐξέλευσιν τῶν ἐχθρῶν προγινώσκῃ,
also the general the coming-out of-the enemies may-know-beforehand
καὶ ποίαν ὁδὸν ἐξελθεῖν μέλλουσι· καὶ αἱ χῶραι, δι᾽ αὐτῶν
and by-what road to-come-out they-are-about and the lands through them
τε καὶ τῶν ἐκσπηλατόρων καταμηνυόμεναι, τοῖς ὀχυρώμασι
both and the scouts being-warned to-the strongholds
καταφεύγωσι, καὶ τὰ τούτων θρέμματα. ἐν δὲ ταῖς ἄκραις
may-flee and the their flocks in and the frontiers
τῶν Ἀρμενιακῶν θεμάτων, ἐπεὶ οἱ Ἀρμένιοι οὐ καλῶς οὐδὲ
of-the Armeniac themes since the Armenians not well nor
ἀσφαλῶς τὴν τῶν βιγλῶν ἐκτελοῦσι δουλείαν, ὀφειλόμενόν
safely the of-the watch-posts perform service owed
ἐστι φυλάττεσθαι τὸν ἀπὸ παλαιοῦ κρατήσαντα τύπον ἐν
it-is to-be-kept the from old prevailing custom in
ταῖς βίγλαις τῶν Ἀρμενίων· καὶ ἀνθρώπους ἐπιλέγεσθαι
the watch-posts of-the Armenians and men to-be-picked

καὶ ἀπογράφεσθαι ἐπιτηδείους, λαμβάνοντας μισθὸν ἀπὸ
and to-be-enrolled suitable receiving pay from
τοῦ στρατοῦ ἐπισωρευόμενον, ὑπὲρ ὧν ὁ τοιοῦτος
the army heaped-up in-place-of which the such
στρατὸς τῇ τῶν βιγλῶν λειτουργίᾳ ὑπηρετεῖν ὤφειλεν·
army in-the of-the watch-posts duty to-serve ought
ὡσαύτως καὶ ἀννώναν ἑκάστῳ μηνὶ τὴν τετυπωμένην· καὶ
likewise also ration each month the prescribed and
ὑπαλλάττειν αὐτοὺς καθ' ἕκαστον μῆνα, καὶ δι' αὐτῶν
to-relieve them by each month and through them
τὰς ὁδούς, ἐν αἷς οἱ πολέμιοι ἐξέρχονται, φυλάττειν
the roads in which the enemies come-out to-guard
ἀσφαλῶς. ἀλλ' ἐπεὶ οὐδὲ αὐτοὶ οἱ μετὰ μισθοῦ καὶ
safely but since not-even they the(-men) with pay and
ἀννώνας, Ἀρμένιοι ὄντες, καλῶς τὴν τῶν βιγλῶν ὑπηρετοῦσι
ration Armenians being well the of-the watch-posts perform
δουλείαν, ἀπὸ τῶν ἀποστελλομένων κατασκόπων χρὴ τὰς
service from the being-sent spies must the
κινήσεις τῶν φωσσάτων ἀναμανθάνειν, καὶ τραπεζίτας
movements of-the armies to-learn and trapezitai
ἐπιλέγεσθαι γενναίους καὶ ἀνδρείους, οὓς οἱ Ἀρμένιοι
to-be-picked noble and brave whom the Armenians
τασιναρίους καλοῦσι, καὶ ἐν ματρικίοις ἀπογράφεσθαι, καὶ
tasinarioi call and in rolls to-be-enrolled and
ἀρχηγοὺς αὐτοῖς ἐφιστᾷν, οἷς, πρὸς τῇ ἀνδρείᾳ,
leaders over-them to-set to-whom in-addition-to the bravery
καὶ πολλὴ ἐμπειρία τῶν ὁδῶν καὶ τῶν τῆς Συρίας
also much experience of-the roads and of-the — of-Syria
χωρῶν πρόσεστι· καὶ τούτους διηνεκῶς ἀποστέλλειν,
lands is-present and these continually to-send
τοῦ κατέρχεσθαι εἰς τὰς τῶν πολεμίων χώρας, καὶ
for-the to-go-down into the of-the enemies lands and

καινοτομεῖν αὐτὰς καὶ βλάπτειν· καὶ εἴ που δυνηθῶσι,
to-harass them and to-harm and if anywhere they-be-able
τινὰς κατασχεῖν τῶν πολεμίων, καὶ πρὸς τὸν τὴν ἀρχὴν
some to-seize of-the enemies and to the the command
διέποντα στρατηγὸν ἀποκομίζειν, ὅπως δι᾽ αὐτῶν τὰς
holding general to-bring so-that through them the
τῶν ἐχθρῶν κινήσεις καὶ βουλὰς ἀναμανθάνῃ.
of-the enemies movements and counsels he-may-learn

3 Περὶ κινήσεως ἐχθρῶν, καὶ τοῦ προκατασχεθῆναι τὰς
about movement of-enemies and of-the to-be-occupied-first the
δυσχωρίας.
rough-places

Ἀναδιδασκόμενος δὲ ὁ στρατηγὸς τὰς τῶν ἐχθρῶν
being-informed and the general the of-the enemies
κινήσεις, ὀφείλει καὶ αὐτὸς τὸν ἴδιον λαὸν ἐπισυνάγειν
movements ought also himself the own troops to-gather
καὶ ἐξοπλίζειν, καὶ πρὸς τὰς ἄκρας παραγίνεσθαι, καὶ
and to-arm and to the frontiers to-come and
τὸ πεζικὸν ἅπαν ἐπισυνάγειν ἐπὶ τὴν ὁδόν, καθ᾽ ἣν
the infantry all to-gather onto the road by which
ὁρμήσουσιν οἱ πολέμιοι ἐξελθεῖν. καὶ εἰ μὲν μετ᾽ ὀλίγης
will-set-out the enemies to-come-out and if indeed with small
δυνάμεως τοὺς ἐχθροὺς ἐξέρχεσθαι ἀναμάθῃ, σπευσάτω
force the enemies to-come-out he-learn let-him-hasten
προσυπαντῆσαι αὐτοῖς, καὶ καταπολεμῆσαι μετὰ τοῦ
to-meet them and to-defeat with the
πεζικοῦ λαοῦ, καὶ τῶν ἱππέων, εἴ γε τὸ τῶν πεζῶν
infantry troops and the horsemen if at-least the of-the foot-soldiers
στράτευμα συναγαγεῖν καὶ συστῆσαι δεδύνηται. καὶ ἐπεὶ
army to-gather and to-assemble he-has-been-able and since
εἰς τὰ στενώματα καὶ τὰς δυσχωρίας ἐπιτηδειότερός ἐστιν
in the narrow-passes and the rough-places more-suitable is

ὁ μετὰ τῶν πεζῶν πόλεμος δέον ἐστί, προκαταλαμβάνειν
the with the foot-soldiers war needful it-is to-occupy-first
καὶ κατέχειν τὰ ὑψηλότερα τῶν ὀρῶν μετ᾽ αὐτῶν, καὶ
and to-hold the higher(-parts) of-the mountains with them and
ἐξ ἀμφοτέρων μερῶν, εἴπερ ἡ θέσις τοῦ τόπου ἐστὶν
from both sides if-indeed the position of-the place is
ἐπιτήδειος, τὰς πεζικὰς διϊστᾶν παρατάξεις. ἐν οἷς δὲ
suitable the infantry to-set-apart battle-lines in which and
ἱππέων ἁρμόζει πόλεμον γίνεσθαι, συνεῖναι τοῖς πεζοῖς
of-horsemen it-fits war to-be to-be-with the foot-soldiers
καὶ ἱππεῖς· ἵνα τὴν τοιαύτην παρασκευὴν καὶ κατάσχεσιν
also horsemen so-that the such preparation and occupation
τῶν στενωμάτων ἀκούοντες οἱ πολέμιοι, ἢ τῆς ὁρμῆς
of-the narrow-passes hearing the enemies either from-the rush
ἐπισχῶσι τὴν φοράν, ἢ καταγωνισθῶσι Θεοῦ συνεργίᾳ.
may-check the onrush or may-be-defeated by-God's help
ὅπου δὲ οὐκ ἐξ ἀμφοτέρων τῶν μερῶν ἡ τοῦ τόπου
where and not from both the sides the of-the place
θέσις προσβαλεῖν πόλεμον ἁρμόζει, ἀλλ᾽ ἐξ ἑνός, ὁμοίως
position to-make war fits but from one likewise
κἀκεῖνο τὸ παρέχον μέρος προκατασχεῖν δεῖ. ἐν οἷς
that-too the offering side to-occupy-first must in which
δὲ τὴν προσβολὴν τοῦ πολέμου ἀφ᾽ ὑψηλοῦ βουνοῦ τὸ
and the attack of-the war from high hill the
τοῦ τόπου ἀνεπιτήδειον γενέσθαι διακωλύει, ἀλλὰ μικρόν
of-the place unsuitable to-be prevents but small
τι προσανωφερής ἐστιν ἡ ὁδὸς καὶ τραχεῖα, ἔχουσα
somewhat sloping-upward is the road and rough having
καὶ ῥύακας, ὡς ἐκ τούτων στενωτάτην καὶ αὐτὴν
also gullies so-that from these narrowest also it
εὑρίσκεσθαι, χρὴ τὴν τῶν πεζῶν παράταξιν ὡσαύτως
to-be-found must the of-the foot-soldiers battle-line likewise

ἀπὸ τῶν ὑψηλοτέρων παρασκευάζειν, καὶ τὴν ὁδὸν
from the higher(-parts) to-prepare and the road
κρατεῖν καὶ ἀποφράττειν δι᾽ ὁπλιτῶν ἀσπιδοφόρων καὶ
to-hold and to-block through hoplites shield-bearing and
ἀκοντιστῶν· ὄπισθεν δὲ τούτων τοὺς ἐκ χειρῶν λίθους
javelin-men behind and these the(-men) from hands stones
βάλλοντας, σὺν αὐτοῖς δὲ καὶ τοξότας καὶ σφενδονίτας·
throwing with them and also bowmen and slingers
καὶ μετὰ τὴν πρώτην παράταξιν καὶ δευτέραν ἑπομένην
and after the first battle-line also a-second following
αὐτῇ παρασκευάζειν· ἑκατέρωθεν δὲ τῆς παρατάξεως τῆς
it to-prepare on-each-side and of-the battle-line of-the
φυλαττούσης τὴν μέσην ὁδόν, ἀκοντιστὰς καθιστᾷν, ψιλούς
guarding the middle road javelin-men to-station light(-troops)
τε, καὶ σφενδονίτας. εἰ δὲ καὶ ἑτέρας ὁδοὺς λέγεται εἶναι
both and slingers if and also other roads it-is-said to-be
δεξιᾷ καὶ εὐωνύμῳ τῆς παρατάξεως τῆς φυλαττούσης τὴν
on-right and on-left of-the battle-line of-the guarding the
δημοσίαν ὁδόν, ἃς οἱ ἀκρῖται ἀτραποὺς καλοῦσι, δέον καὶ
public road which the borderers paths call needful also
ταύτας κρατεῖσθαι μετὰ πεζῶν, καὶ φυλάττεσθαι ἀκριβῶς·
these to-be-held with foot-soldiers and to-be-guarded exactly
μή ποτε, μανθανόντων τῶν πολεμίων τὴν δημοσίαν ὁδὸν
lest ever learning the enemies the public road
ἐν ἀσφαλείᾳ κρατεῖσθαι μετὰ πλήθους λαοῦ, εἰς ἑτέραν τῶν
in safety to-be-held with multitude of-troops into another of-the
ἐκ πλαγίων ὁρμήσωσι, καί, εἰ μὴ καλῶς καὶ ἀσφαλῶς
from sides they-rush and if not well and safely
φυλάττηται, εὕρωσιν ἐκεῖθεν πάροδον, καὶ γενηθῶσιν ἐκ
it-is-guarded they-find thence passage and get on

πλαγίου ἢ καὶ ἐκ νώτου τῶν παρατάξεων, καὶ περισπασμὸν
flank or also at back of-the battle-lines and distraction
καὶ φόβον τῷ Ῥωμαϊκῷ στρατῷ προξενήσωσιν.
and fear to-the Roman army cause
ἀμφοτέρων δὲ ἀσφαλῶς φυλαττομένων, ἢ πρὸς μάχην
both and safely being-guarded either to battle
τῶν πολεμίων ὁρμώντων Θεοῦ συνεργίᾳ καταισχυνθήσονται,
the enemies rushing by-God's help will-be-put-to-shame
ἢ ὀῤῥωδίᾳ κατασχεθέντες δι᾽ ἄλλης ὁδοῦ, πολλῶν
or by-dread having-been-seized through another road of-many
ἡμερῶν διάστημα ἀπεχούσης, τὴν ὁρμὴν ποιήσονται.
days distance being-away the rush will-make
καὶ ὡς ἐντεῦθεν δύο κακὰ προσγενήσονται τοῖς ἐχθροῖς,
and so thence two evils will-befall the enemies
καταλιποῦσι τὰ τούτων ἄπληκτα καὶ τὴν εὐθεῖαν ὁδόν· ἓν
having-left the their encampments and the straight road one
μέν, ταλαιπωρηθῆναι τῷ τῶν πολλῶν ἡμερῶν διαστήματι·
indeed to-be-distressed by-the of-the many days distance
ἕτερον δέ, τὸ καὶ ἀπώλειαν αὐτοῖς ἐπάγον, τὸ αὐτοὺς
(the)-other and the also destruction to-them bringing the them
μὲν δειλανδρῆσαι καὶ ἀθυμίᾳ ὑποβληθῆναι· τοὺς δὲ
indeed to-be-cowardly and to-despondency to-be-subjected the and
Ῥωμαίους προθυμωτέρους καὶ εὐτολμωτέρους πρὸς τὸν
Romans more-eager and more-daring for the
κατ᾽ αὐτῶν πόλεμον γενέσθαι. οἷον δὴ καὶ ἐν τοῖς ἄνω
against them war to-become such-as indeed also in the upper
χρόνοις ἀλήστῳ τῷ Χαμβδᾷ ἐκ τρίτου παθεῖν συμβέβηκε·
times unforgettable — to-Chambdas for a-third-time to-suffer happened
δὶς μὲν ἐν τοῖς χρόνοις τοῦ ἀοιδίμου καὶ τρισμάκαρος
twice indeed in the times of-the celebrated and thrice-blessed
Κωνσταντίνου τοῦ Πορφυρογεννήτου βασιλέως· ἅπαξ δὲ
Constantine the Porphyrogennetos emperor once and

ἐπὶ τοῦ καλοῦ βασιλέως Ῥωμανοῦ, τοῦ μακαρίτου υἱοῦ.
under the good emperor Romanos the late son
καὶ πάντες σχεδὸν τὴν τότε γενομένην πανολεθρίαν τῶν
and all almost the then having-happened utter-ruin of-the
ἀρνητῶν τοῦ Χριστοῦ ἀκριβῶς ἐπίστανται. ἀλλὰ καὶ
deniers — of-Christ exactly know but also
ὁ λαὸς τῶν Ταρσέων καὶ τῆς τῶν Κιλίκων χώρας ἐν
the troops of-the Tarsians and of-the of-the Cilicians land in
διαφόροις τόποις τῶν στενωμάτων παρὰ τῶν τότε τῆς
different places of-the narrow-passes by the then the
ἄκρας προνοουμένων στρατηγῶν κατετροπώθησαν.
frontier caring-for generals were-routed

II · RAIDS AND THE SHADOWING OF THE ENEMY

It is better to attack the enemy secretly on their return, worn out and laden with booty, than in the passes on the way in; the general holds the springs and carries water in skins. He learns a raiding force's numbers from its tracks, hides near the villages it will raid, and falls on it when it scatters. When a great army gathers, he sends spies and gifts to the emirs, and shadows it with scouts on foot and foursomes of horsemen.

4 Περὶ τοῦ ποιεῖσθαι λάθρα τὰς κατὰ τῶν ἐχθρῶν ἐπιθέσεις,
about the to-make secretly the against the enemies attacks
καὶ περὶ τοῦ προσυπαντᾷν τοὺς πολεμίους, πρὸς τὴν
and about the to-meet the enemies toward the
ἰδίαν ἐπαναστρέφοντας.
own(-land) returning
Χρὴ δὲ καὶ τοῦτο διὰ σκοποῦ καὶ μελέτης ἔχειν
must and also this through aim and study to-have
τὸν στρατηγόν, καὶ πᾶσαν σπουδὴν τίθεσθαι, λάθρα
the general and all zeal to-put secretly

καὶ ἀδοκήτως, εἰ οἷόν τε, τὰς τῶν ἐχθρῶν ἐπιθέσεις
and unexpectedly if possible — the of-the enemies attacks
ποιεῖσθαι. τοῦ γὰρ τοιούτου ἐπιτηδεύματος τυγχάνων ὁ
to-make of-the for such practice attaining the
στρατηγός, καὶ μετ᾽ ὀλιγοστοῦ λαοῦ πολλοὺς τῶν πολεμίων
general even with very-few troops many of-the enemies
κατατροπώσεται. εἰ δέ, ὡς ἀνωτέρω δεδήλωται, καὶ τόπου
will-rout if and as above has-been-shown also place
ἐπιτύχῃ ἐν τοῖς στενώμασιν, ἐκ δύο μερῶν τοῦ κατὰ τῶν
he-find in the narrow-passes from two sides of-the against the
ἐχθρῶν πολέμου τὸ ἐπιτήδειον ἔχοντος, ἀδιστάκτως ἔχεσθαι
enemies war the suitability having unhesitatingly to-hold-to
τοῦ πολέμου· καὶ καλῶς τάσσων τὸν ὑπ᾽ αὐτὸν λαόν,
the war and well arraying the under him troops
Θεοῦ συνεργίᾳ κατὰ κράτος τοὺς πολεμίους τροπώσεται.
by-God's help by force the enemies he-will-rout
πλὴν κατὰ πολύ ἐστι λυσιτελέστερον καὶ ἁρμοδιώτερον,
but by much it-is more-profitable and more-fitting
ὑπὲρ τοῦ προσυπαντᾷν τοὺς πολεμίους μέλλοντας ἐξιέναι
than the to-meet the enemies being-about to-come-out
κατὰ Ῥωμανίας, ὅτε μᾶλλον ἀπὸ τῶν ἡμετέρων χωρῶν
against Romania when rather from the our lands
πρὸς τὴν ἰδίαν ἐπαναστρέφουσι. τότε γὰρ διὰ τὸ
toward the own(-land) they-return then for because-of the
ἐπὶ πολὺ χρονοτριβῆσαι αὐτοὺς ταῖς Ῥωμαϊκαῖς χώραις,
for long to-have-spent-time them in-the Roman lands
μεγάλως συντρίβονται καὶ ταλαιπωροῦνται. εἰ τύχῃ δέ,
greatly they-are-worn-down and are-distressed if it-happen and
καὶ πλῆθος πραγμάτων καὶ ἀνδραπόδων ἐπιφέρονται καὶ
also multitude of-goods and of-captives they-bring and
κτηνῶν, καὶ αὐτοί τε καὶ οἱ ἵπποι αὐτῶν κατακοπιῶντες,
of-beasts and they both and the horses their being-worn-out

ἐν καιρῷ πολέμου ἐκλελυμένοι εὑρίσκονται, σπεύδοντες
in time of-war exhausted are-found hastening
καὶ ἐπιθυμοῦντες τάχιον τὴν ἰδίαν καταλήψεσθαι χώραν.
and desiring more-quickly the own to-reach country
ἄλλως τε δὲ καὶ τὰ τῶν Ῥωμαίων στρατεύματα ἐν τῇ τῶν
besides — and also the of-the Romans armies in the of-the
ἡμερῶν παρατάσει οὐ μόνον τὰ πλησίον τῶν κλεισουρῶν
days extension not only the(-ones) near the kleisouras
τάχιον ἐπισωρεύονται, ἀλλὰ καὶ τὰ πόῤῥω τυγχάνοντα·
more-quickly are-heaped-up but also the(-ones) far-off being
καὶ εἰς πλῆθος ἐπισυνίστανται ἱκανόν, καὶ καλῶς πρὸς
and into multitude assemble sufficient and well for
πόλεμον ἐξαρτύονται καὶ παρασκευάζονται. καὶ τότε
war are-equipped and are-prepared and then
μᾶλλον, καθάπερ προέφημεν, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ ὁ
rather as we-said-before both by day and by night the
κατ᾽ αὐτῶν πόλεμος ἀδίστακτον ἔχει τὴν νίκην. διὸ χρὴ
against them war undoubted has the victory wherefore must
τὸν στρατηγὸν μηδέπω ἐν τῇ ὑποστροφῇ καταλιμπάνειν.
the general never in the return to-leave(-it)
τὸ δὲ ἐν τῇ ἐξελεύσει τῶν πολεμίων παρασκευάζεσθαι
the and in the coming-out of-the enemies to-prepare
προσυπαντᾷν αὐτοὺς πρὸς πόλεμον ἐν τοῖς στενώμασιν,
to-meet them for war in the narrow-passes
ἀνεπιτηδειότερον μέν ἐστι, καὶ εἰς μάτην ἴσως τὸν κόπον
less-suitable indeed is and in vain perhaps the toil
συνέβη γίγνεσθαι· διὰ τὸ μὴ οὕτως συντόμως δι᾽ ὀλίγων
happened to-be because-of the not so quickly in few
ἡμερῶν δύνασθαι τὸ πεζικὸν συναθροισθῆναι στράτευμα,
days to-be-able the infantry to-be-gathered army
καὶ καλῶς παρασκευασθῆναι. ἄλλως τε δὲ καὶ οἱ πολέμιοι,
and well to-be-prepared besides — and also the enemies

ἀκμῆτες ὄντες καὶ ἀπαρόπλιστοι, δυσκαταγώνιστοι ἔσονται.
unwearied being and still-armed hard-to-overcome will-be
κατὰ τοῦτο δὲ τὸ ὠφέλιμον ἔχει καὶ χρήσιμον, καθὸ
in this and the usefulness it-has and use in-that
ἐμφόβους αὐτοὺς γίγνεσθαι, ὁσάκις ἂν βουληθῶσιν ἐξελθεῖν,
fearful them to-become as-often-as — they-wish to-come-out
τῇ κατασχέσει τῶν στενωμάτων, καὶ τὴν μετ᾽ ὀλίγον
by-the occupation of-the narrow-passes and the after a-little
ἐκκοπεῖν κατὰ τῶν Ῥωμαϊκῶν θεμάτων συνεχῆ ἐξέλευσιν.
to-cut-off against the Roman themes continual coming-out
Περὶ προκατασχέσεως ὑδάτων, τῶν ἐν τοῖς στενώμασιν 5
about occupation-in-advance of-waters of-the in the narrow-passes
ὄντων.
being
Ἐν οἷς δὲ τόποις τῶν στενωμάτων καὶ κλεισουρῶν πρὸς
in which and places of-the narrow-passes and kleisouras for
πόλεμον ὁ στρατηγὸς παρασκευάζεται, εἴπερ ἐν τούτοις
war the general prepares if-indeed in these
πηγή ἐστιν ὕδωρ βρύουσα, ὑπὸ τοῦ ἰδίου λαοῦ ταύτην
a-spring is water gushing by the own troops it
σπουδάσῃ κατασχεθῆναι, ὥστε τὸ ἐκεῖθεν ὕδωρ τὸν λαὸν
let-him-hasten to-be-seized so-that the from-there water the troops
ἀπαρύεσθαι. εἰ δὲ τύχῃ ὀλιγοστὸν εἶναι, σπουδάσῃ μὴ
to-draw if and it-happen very-scanty to-be let-him-hasten not
ἐπιθολοῦσθαι τοῦτο, καὶ ὡς μὴ οὐ μικρὰ ἐκ τούτου λύπη
to-be-muddied it and so-that not no small from this distress
τὸν λαὸν καὶ ἀνάγκη ἐπισυμβήσεται. πηγῆς δὲ ἔγγιστα μὴ
the troops and need will-befall of-a-spring and very-near not
οὔσης, ἐξ ἧς τὴν πόσιν καὶ ἀναψυχὴν ὁ λαὸς ἐφευρίσκῃ,
being from which the drink and refreshment the troops may-find
καὶ μάλιστα ἐν καιρῷ θέρους, ἀσκοὺς διορισάτω ἐν ἑκάστῃ
and most in time of-summer skins let-him-appoint in each

ἑκατονταρχίᾳ δέκα ἐπιφέρεσθαι, καὶ δι᾽ αὐτῶν τὸ ὕδωρ
company-of-a-hundred ten to-be-carried and through them the water
ἐπικομίζεσθαι, καὶ ἐν ὥρᾳ τῆς μάχης εἰς πόσιν καὶ ἀναψυχὴν
to-be-brought and in hour of-the battle for drink and refreshment
τοῖς ἐν τῷ πολέμῳ ἀγωνιζομένοις ἐπιχορηγεῖσθαι. ἀλλὰ
to-the(-men) in the war contending to-be-supplied but
περὶ μὲν τῶν ἐν τοῖς στενώμασι μελλόντων πρὸς πόλεμον
about indeed the(-men) in the narrow-passes being-about for war
ἐξαρτύεσθαι, ἱκανῶς εἰρήσθω. εἰ δὲ καὶ νυκτοπόλεμον δεήσει
to-be-equipped sufficiently let-it-be-said if and also night-battle it-will-need
ἐν ταῖς τοιαύταις δυσχωρίαις γενέσθαι, καὶ τοῦτο πάνυ
in the such rough-places to-be also this very
ὠφέλιμον. ἀλλὰ περὶ μὲν τούτων ἐν ἑτέρᾳ διηγήσει δηλώσω.
useful but about indeed these in another account I-shall-show
τῆς δὲ παραδρομῆς ἄρξομαι τὴν εἰσήγησιν· ἥτις ἐπωφελὴς
of-the and skirmishing I-shall-begin the introduction which beneficial
καὶ ἀναγκαία τυγχάνουσα, δι᾽ ὀλίγου καὶ εὐαριθμήτου
and necessary being through small and easily-counted
λαοῦ πολλὰ τῶν πολεμίων πλήθη ἀπρακτεῖν παρασκευάζει,
troops many of-the enemies multitudes to-be-ineffective makes
Θεοῦ δὲ νεύσει ὡς τὰ πολλὰ καὶ καταγωνίζεται.
of-God and by-nod as the much(-part) also overcomes

6 Περὶ παραδρομῆς τῶν μονοκούρσων, καὶ στοχασμοῦ τῆς
about skirmishing of-the single-raids and estimate of-the
τοῦ λαοῦ αὐτῶν ποσότητος.
of-the troops their quantity

Τὰ τῶν πολεμίων κοῦρσα τὰ λεγόμενα μονόκουρσα ἀπὸ
the of-the enemies raiding-forces the called single-raids from
τῆς ἰδίας χώρας ἐξερχόμενα, πεζῶν ἄνευ, ἔθος αὐτοῖς
the own land coming-out of-foot-soldiers without custom for-them
σπουδῇ τὴν πορείαν ποιεῖσθαι, καὶ μηδαμοῦ ἀπληκεύοντας
with-haste the march to-make and nowhere encamping

τὴν ὅλην νύκτα διαβιβάζειν· ἀλλὰ πρὸς μικρὸν τοὺς
the whole night to-pass but for a-little the
ἵππους διαναπαύειν, πρὸς τὸ τὰς ταγὰς καὶ μόνον τούτοις
horses to-rest for the the rations and only to-them
ἀποδοῦναι. ὡς ἐπίπαν γὰρ τὰ μονόκουρσα μετ᾽ ὀλιγοστοῦ
to-give as on-the-whole for the single-raids with very-few
καὶ ἐκλεκτοῦ λαοῦ τὴν ἐξέλευσιν ποιοῦνται. σπεύδουσι
and picked troops the coming-out make they-hasten
δὲ τάχιστα καταλαβεῖν, ἐν οἷς χωρίοις τὴν ἐπίθεσιν καὶ
and most-quickly to-reach in which places the attack and
ἐκδρομὴν ἐβουλεύσαντο ποιῆσαι. τοῦ οὖν στρατηγοῦ παρά
sally they-planned to-make the then general from
τε τῶν καμινοβιγλίων καὶ τῶν βιγλατόρων τὴν τούτων
both the beacon-posts and the lookouts the their
ἐξέλευσιν ἀναμανθάνοντος, σπουδῇ πολλῇ τὰ ἐν ταῖς
coming-out learning with-haste much the in the
ἄκραις καταλαμβανέτω χωρία, προαποστέλλων τουρμάρχην
frontiers let-him-seize places sending-ahead a-tourmarch
εἴτε ἕτερον ἄρχοντα, τῶν ἐμπειροτάτων καὶ χρησίμων,
or another officer of-the most-experienced and useful
μετὰ ἐκλεκτῶν ἀρχόντων καὶ καλοϊππαράτων, τοῦ
with picked officers and well-mounted(-men) for-the
προσυπαντῆσαι, καὶ μετὰ ἐμπειρίας τούτους θεάσασθαι,
to-meet and with experience them to-observe
καὶ παραμεῖναι, καὶ τῷ στρατηγῷ καταμηνύειν ἐν ᾧ
and to-stay-beside and to-the general to-report in which
τόπῳ κατέλαβον, εἰ δυνατὸν διασκοπεῖν, καὶ τὴν τοῦ λαοῦ
place they-arrived if possible to-examine also the of-the troops
αὐτῶν ποσότητα. οὐ μόνον γὰρ ἀπὸ τῆς θέας δυνατόν
their quantity not only for from the sight possible
ἐστιν ἀριθμῆσαι αὐτοὺς καὶ καταστοχάσασθαι, ἀλλὰ καὶ
it-is to-count them and to-estimate but also

ἐκ τῆς τούτων ὁπλῆς. πλῆθος γὰρ χόρτου ἐρημίαις
from the their hoof-track multitude for of-grass in-desolate-places
ὑπάρχον, καὶ τοῖς ποσὶ τῶν ἀλόγων καταπατούμενον, οἱ
being and by-the feet of-the beasts trampled the
τῶν ἀνδρῶν ἐμπειρότατοι δύνανται ἐκ τούτου τὴν τοῦ
of-the men most-experienced are-able from this the of-the
λαοῦ ποσότητα, εἰ καὶ μὴ ἀκριβῶς, καταστοχάσασθαι.
troops quantity if even not exactly to-estimate
ὡσαύτως δὲ καὶ ἐν τοῖς τῶν ποταμῶν περάμασιν·
likewise and also in the of-the rivers crossings
ἀκριβέστερον δὲ καὶ ἀπὸ τῶν τούτων ἀπλήκτων, ἡνίκα
more-exactly and also from the their encampments when
ἐκεῖθεν ἀπαίρουσιν. ὁ δὲ στρατηγός, τοῦ κούρσου τῶν
from-there they-set-out the and general of-the raiding-force of-the
πολεμίων τὴν ἄφιξιν ἀναμανθάνων, καὶ τῶν χωρίων, ἐν
enemies the arrival learning and the places in
οἷς τὰς ἐκδρομὰς ποιήσασθαι μέλλουσι, στοχασάμενος,
which the sallies to-make they-are-about having-estimated
πλησίον τούτων γινέσθω· καὶ ἐν ἐπιτηδείῳ τόπῳ ἑαυτὸν
near them let-him-be and in suitable place himself
ἀποκρύψας μετὰ τοῦ λαοῦ αὐτοῦ, βίγλας τε καβαλλαρίων
having-hidden with the troops his watch-posts and of-horsemen
πανταχοῦ ἀποστείλας, ἡνίκα περὶ αὐτῶν καταμηνυθείη, καὶ
everywhere having-sent when about them it-be-reported and
θεαθῶσιν ἐξελαύνοντες καὶ διασκορπιζόμενοι, ἐξέλθῃ
they-be-seen riding-out and scattering let-him-come-out
εἰς τὸ σκόρπισμα, καὶ τούτοις ἐντυγχάνων ἀπόνως αὐτοὺς
to the scattering and them encountering without-toil them
καταγωνίσεται. εἰ δὲ συμβῇ τινας τῶν χωριτῶν κρατηθῆναι
will-overcome if and it-happen some of-the villagers to-be-seized
παρ᾽ αὐτῶν πρὸ τοῦ ἐξελάσαι, καὶ ἀναμαθεῖν τήν τε
by them before the to-ride-out and to-learn the both

τοῦ στρατηγοῦ παρουσίαν καὶ τὴν τῶν χωρίων ἐπέλευσιν,
of-the general presence and the of-the villages attack
καὶ οὐ θαῤῥήσουσιν ἐξελάσαι, ἄπρακτοι σπουδαίως πρὸς
and not they-will-dare to-ride-out unsuccessful hastily to
τὴν ἰδίαν ὑποστρέψουσι χώραν, μόνον τὸν κόπον καὶ τὴν
the own they-will-return land only the toil and the
συντριβὴν καὶ ταλαιπωρίαν ὑποστάντες.
wearing-down and distress having-undergone

Περὶ συναθροίσεως καὶ κινήσεως φωσσάτου· καὶ περὶ 7
about gathering and movement of-an-army and about
τοῦ παραχωρεῖν τοὺς πραγματευτὰς εἰσέρχεσθαι καὶ
the to-allow the traders to-go-in and
κατασκοπεῖν.
to-spy

Παρασκευὴν δὲ καὶ κίνησιν μεγάλου φωσσάτου ἀκούων,
preparation and also movement of-a-great army hearing
ἐν ᾧ καιρῷ μάλιστα εἴωθε τὰ μεγάλα συναθροίζεσθαι
in which time most is-wont the great to-be-gathered
φωσσάτα, ἤγουν τῷ Αὐγούστῳ μηνί· ἐν γὰρ τῷ τοιούτῳ
armies namely in-the August month in for the such
καιρῷ ἀπό τε Αἰγύπτου, Παλαιστίνης τε καὶ Φοινίκης, καὶ
time from both Egypt Palestine both and Phoenicia and
τῆς Κοίλης Συρίας, πλήθη ἀνήρχοντο ἐν Κιλικίᾳ, καὶ ἐν
the Hollow Syria multitudes went-up into Cilicia and in
ταῖς χώραις Ἀντιοχείας, τοῦ Χάλεπε, καὶ προσλαμβάνοντες
the lands of-Antioch — of-Aleppo and taking-in-addition
καὶ Ἄραβας τῷ Σεπτεμβρίῳ μηνὶ τὴν κατὰ Ῥωμαίων
also Arabs in-the September month the against Romans
ἐποιοῦντο ἐξέλευσιν· ἐν τῷ τοιούτῳ τοίνυν καιρῷ, ὅτε ἡ
made coming-out in the such therefore time when the
συνάθροισις τοῦ φωσσάτου τῶν πολεμίων μέλλει γίνεσθαι,
gathering of-the army of-the enemies is-about to-be

συνεχέστερον τοὺς τραπεζίτας ἀποστέλλειν, ἤτοι τὰ
more-continually the trapezitai to-send namely the
τασινάκια, καὶ κατασκόπους πλείστους τῶν χρησίμων καὶ
tasinakia and spies very-many of-the useful and
πιστῶν. παραχωρεῖν δὲ καὶ πραγματευτὰς εἰσέρχεσθαι·
trustworthy to-allow and also traders to-go-in
προσποιεῖσθαι δὲ καὶ φιλίαν πρὸς τοὺς κρατοῦντας ἀμηράδας
to-feign and also friendship toward the ruling emirs
τῶν ταῖς ἄκραις ἡμῶν παρακειμένων κάστρων· καὶ γράφειν
of-the at-the frontiers our lying-near forts and to-write
πρὸς αὐτούς, καὶ ἀνθρώπους μετὰ κανισκίων ἀποστέλλειν·
to them and men with gift-baskets to-send
ὅπως διὰ τῆς πολυειδοῦς ταύτης πολυπραγμοσύνης
so-that through the manifold this inquisitiveness
δυνηθῇ σαφῶς ἀναδιδάσκεσθαι τὰς τῶν πολεμίων βουλὰς
he-may-be-able clearly to-be-informed-of the of-the enemies counsels
καὶ μελέτας, καὶ τὰ πλήθη τῶν ἐπισωρευομένων φωσσάτων
and plans and the multitudes of-the being-heaped-up armies
ἱππέων τε καὶ πεζῶν, καὶ τοὺς τούτων ἀρχηγούς,
of-horsemen both and of-foot-soldiers and the their leaders
καὶ ἐν ποίαις χώραις τὴν ἐπέλευσιν ποιεῖν βούλονται.
and in what lands the attack to-make they-wish
καταμηνυόμενος δὲ τὴν τοῦ φωσσάτου ἀποκίνησιν, καὶ διὰ
being-informed-of and the of-the army departure and through
ποίας ὁδοῦ τὴν ἐξέλευσιν κατὰ Ῥωμανίας ποιεῖσθαι μέλλει,
what road the coming-out against Romania to-make it-is-about
ἐπισυνάγειν ἅπαντα τὰ στρατεύματα, καὶ πρὸς τὰς ἄκρας
to-gather all the armies and to the frontiers
παραγίνεσθαι, ἀποστέλλειν δὲ τουρμάρχην ἐμπειρότατον,
to-come to-send and a-tourmarch most-experienced
εἴτε ἕτερόν τινα τῶν μεγάλων καὶ χρησίμων ἀρχόντων,
or another someone of-the great and useful officers

μετὰ ἱππέων ἐπιλέκτων προσυπαντῆσαι τοῖς πολεμίοις
with horsemen picked to-meet the enemies
πρὸ τοῦ τὴν εἰσβολὴν εἰς τὰς ἡμῶν χώρας ποιήσασθαι·
before the the invasion into the our lands to-make
ἵνα καὶ ἐπακολουθῶσιν αὐτοῖς, καὶ παραμένωσι, καὶ τὰς
so-that also they-may-follow them and may-stay-beside and the
ἀποκινήσεις αὐτῶν τῷ στρατηγῷ καταμηνύωσιν.
departures their to-the general may-report
Περὶ παραμονῆς φωσσάτου, καὶ ἀκολουθήσεως. 8
about staying-beside an-army and following
Ἡ δὲ παραμονὴ αὐτῶν οὕτως ὀφείλει γίνεσθαι. τοῦ
the and staying-beside their thus ought to-be of-the
στρατηγοῦ μετὰ παντὸς τοῦ λαοῦ ἐν ἐπιτηδείῳ καὶ
general with all the troops in suitable and
ὀχυρῷ τόπῳ παρατρέχοντος, καὶ τῶν χωρίων διὰ τῶν
strong place running-alongside and the villages through the
ἐκσπηλατόρων φυγαδευομένων ἐν τοῖς κάστροις, ἤ, μὴ
scouts being-put-to-flight into the forts or not
ὄντων κάστρων, ἐν ὄρεσιν ὑψηλοῖς καὶ ὀχυρωτάτοις
being forts into mountains high and most-strong
καὶ ἀνεπιβουλεύτοις, ὁμοίως καὶ πάντα τὰ κτήνη αὐτῶν·
and safe-from-plots likewise also all the beasts their
δέον ἀποστέλλειν καὶ τὸν ὀφείλοντα παραμένειν
it-is-needful to-send and the(-one) owing to-stay-beside
ἀπὸ δευτέρας ὥρας ἢ καὶ τρίτης τῆς ἡμέρας. καὶ εὐχὴν
from second hour or also third of-the day and prayer
λαμβάνοντας τοῦ στρατηγοῦ, ἀναλαμβάνεσθαι τὸν λαὸν
receiving from-the general to-take-up the troops
αὐτοῦ, καὶ τοὺς παρασυρτάτους, καὶ ὁρμᾷν πρὸς τὴν
his and the led-horses and to-set-out toward the
ὁδόν, καθ' ἣν οἱ πολέμιοι διέρχονται, τὴν ἀποσκευὴν
road by which the enemies pass-through the baggage

αὐτοῦ καὶ τοὺς παριππαράτους καταλιμπάνων μετὰ τοῦ
his and the spare-mounts leaving with the
στρατηγοῦ, μηδὲν ἄλλο ἐπιφερομένους ἢ μιᾶς ἡμέρας
general nothing other carrying than of-one day
τροφήν, καὶ αὐτὴν μετὰ ἐνδείας, ἄρτους μόνους καὶ τυρόν,
food and it with scantiness loaves only and cheese
ἢ καὶ τάριχα, καὶ τὰς τῶν ἵππων καὶ ἡμιόνων ταγάς.
or also salt-fish and the of-the horses and mules rations
εἰς χωρίον δὲ ἀπληκεύων, τάς τε χρείας καὶ τὴν τῶν
in a-village and encamping the both needs and the of-the
ἀλόγων τροφὴν ἐφευρίσκων, διαναπαυσάτω ἐκεῖσε τὸν
beasts food finding let-him-rest there the
λαὸν αὐτοῦ καὶ τὸν ἵππον, ἕως ὥρας ἐννάτης τῆς ἡμέρας,
troops his and the horse until hour ninth of-the day
βίγλας κρατῶν ἐν ὑψηλοτέροις τόποις. καὶ αὐτὸς ἐκεῖνος
watch-posts holding in higher places and himself that-very
ὁ τοῦ λαοῦ ἀρχηγός, ἐν περιωπῇ ὑψηλοτάτῃ ἀνερχόμενος,
the of-the troops leader on lookout most-high going-up
ἀποσκοπεῖν ὀφείλει καὶ βλέπειν κονιορτοὺς τῶν πολεμίων
to-look-out ought and to-see dust-clouds of-the enemies
καὶ καπνούς· καὶ ὡς ἐκ τούτου κατανοεῖν καὶ στοχάζεσθαι,
and smokes and so from this to-perceive and to-estimate
ἐν οἷς διέρχονται καὶ ἀπληκεῦσαι μέλλουσιν. ὑπὸ γὰρ
in which they-pass-through and to-encamp they-are-about by for
τῶν ἐμπείρων ἀνδρῶν καὶ οἱ τόποι, ἐφ' οἷς προσήκει
the experienced men also the places on which it-befits
ἄπληκτα γίνεσθαι, διαγινώσκονται. ἡνίκα δὲ αἴσθωνται
encampments to-be are-recognized when and they-perceive
τοῦ τόπου, ἐν ᾧ ηὐλίσαντο οἱ πολέμιοι, παραυτίκα
the place in which encamped the enemies at-once
δηλώσι τῷ στρατηγῷ περὶ τούτου. κἀκεῖνος μετὰ τοῦ
let-them-show to-the general about this and-he with the

ἰδίου στρατοῦ θώρακας ἀμπεχομένου καὶ τὰ λεγόμενα
own army mail-coats wearing and the called
ἐπανωκλίβανα μὴ λευκὰ ὄντα, ἐπὶ χεῖρας ἕκαστος τὸ
over-mail-coats not white being at hand each the
μεταχειριζόμενον ὅπλον κατέχων, τὴν ὁδοιπορίαν ποιείτω.
handled weapon holding the journey let-him-make
τοῦ δὲ ἡλίου ὑποκλίναντος, καὶ τῶν εἰς λείαν ἐκ τοῦ
the and sun having-declined and of-the for plunder from the
φωσσάτου ἐξερχομένων πολεμίων ὑποστρεφόντων πρὸς τὰς
army coming-out enemies returning to the
σκηνὰς αὐτῶν, καὶ τὰ φοῦλκα τούτους φυλάττοντα, τότε
tents their and the units them guarding then
συνεισέρχεσθαι καὶ αὐτὸν καὶ πλησιάζειν τῷ τῶν ἐχθρῶν
to-go-in-with also himself and to-draw-near to-the of-the enemies
φωσσάτῳ. μετὰ σκοποῦ δὲ ὁδοιπορείτω καὶ προσοχῆς
army with aim and let-him-march and attention
ἀκριβοῦς, καὶ λαθραίως· καὶ ἑαυτὸν ὑποκρυπτέτω, τοῦ
exact and secretly and himself let-him-hide for-the
μὴ θεαθῆναι παρὰ τῶν πολεμίων. νυκτὸς δ' ἤδη
not to-be-seen by the enemies night and already
γὰρ τῶν πολεμίων τῷ ἀριθμῷ εἶναι ὀφείλουσιν οἱ
for than-the enemies in-the number to-be ought the(-men)
τοῦ στρατηγοῦ), διορισάσθω τούτους ἀνδρείῳ ὁρμήματι
of-the general let-him-appoint these with-brave onset
σὺν ὀξυτάτῃ τῶν ἵππων ὁρμῇ ἐπιθέσθαι τοῖς ἀντιπάλοις,
with sharpest of-the horses rush to-attack the adversaries
καὶ Θεοῦ συνεργίᾳ εὐοδωθήσεται. εἰ δὲ συμβῇ τούτους
and by-God's help he-will-be-prospered if and it-happen these
ἐπιδιωχθῆναι παρὰ τῶν πολεμίων, δέον προαπαντῆσαι
to-be-pursued by the enemies it-is-needful to-go-to-meet
αὐτοῖς μετὰ τῶν ὑπολειφθέντων αὐτῷ τεσσαράκοντα,
them with the left-behind him forty
καὶ τοὺς μὲν κατασχεθέντας δεσμώτας ἢ ἀναιρῆσαι,
and the indeed seized prisoners either to-kill
ἢ ἔμπροσθεν ἀποστεῖλαι, ἀπελθεῖν τάχιον, καὶ τὸ
or in-front to-send to-go-off more-quickly and the
ὀχύρωμα καταλαβεῖν. κἀκεῖνος ἐμπείρως μαχόμενος καὶ
stronghold to-reach and-he skillfully fighting and
ἀνθιστάμενος τοῖς πολεμίοις, καὶ ποτὲ μὲν ὑποστρέφων
resisting the enemies and at-one-time indeed returning
κατ᾽ αὐτῶν, ποτὲ δὲ ὑποφεύγων, ἐρεθίσει αὐτοὺς
against them at-another and fleeing will-provoke them
πρὸς δίωξιν. καὶ εἰ ἄχρι τῶν τόπων καταδιώξωσιν, ἐν
to pursuit and if as-far-as the places they-pursue in
οἷς οἱ πεζοὶ ἀποκρύπτονται, καὶ τούτους τινὲς τῶν
which the foot-soldiers are-hidden and these some of-the

πολεμίων διέλθωσι, τότε οἱ πεζοὶ τῶν ἐγκρυμμάτων
enemies pass-through then the foot-soldiers from-the concealments
ἐξερχόμενοι ἀντιστήσονται τοῖς διώκουσι πολεμίοις, καὶ
coming-out will-resist the pursuing enemies and
ἀπωθήσονται. οἱ δὲ τοὺς πεζοὺς διελθόντες πολέμιοι
will-repel the and the foot-soldiers having-passed-through enemies
ἐμπεσοῦνται τῷ ἐγκρύμματι τῶν ἱππέων, καὶ ἄρδην ἅπαντες
will-fall-into the concealment of-the horsemen and utterly all
ἀπολοῦνται· ὑπὸ γὰρ τοῦ τόπου οἱ πεζοὶ βοηθούμενοι
will-perish by for the place the foot-soldiers being-helped
οὐκ ἐάσουσι τοὺς διώκοντας διελθεῖν· ἀλλὰ τὴν δίωξιν
not will-allow the pursuers to-pass-through but the pursuit
καταλείψουσι καὶ ἄπρακτοι πάντες ὑποστρέψουσι, τοὺς
will-abandon and unsuccessful all will-return the
ἤδη προκατασχεθέντας τῶν οἰκείων ἀπολέσαντες.
already seized-beforehand of-the own(-men) having-lost

12 Περὶ ἀθρόας ἐξελεύσεως τῶν πολεμίων, πρὸ τοῦ τὰ
about massed coming-out of-the enemies before the the
Ῥωμαϊκὰ ἐπισυναχθῆναι στρατεύματα.
Roman to-be-gathered armies
Εἰ δέ γε τῶν πολεμίων ἐξέλευσις ἀθρόα καὶ σύντομος
if but at-least of-the enemies coming-out massed and quick
γένηται, οἷα πολλάκις παρ' αὐτῶν εἴωθε γίνεσθαι,
happen such-as often by them is-wont to-happen
μήπω τῶν βασιλικῶν στρατευμάτων ἐπισωρευθέντων,
not-yet the imperial armies having-been-heaped-up
ἀλλὰ μόνου τοῦ στρατηγοῦ· μηδὲ αὐτοῦ δυνηθέντος
but only the general not-even himself having-been-able
διὰ τὸ σύντομον τῆς αὐτῶν ἐξελεύσεως τὸν ὀλίγον
because-of the quickness of-the their coming-out the small
λαὸν τοῦ ἰδίου θέματος ἐπισυναγαγεῖν· ἀλλ' ὀλίγον ἔχῃ
troops of-the own theme to-gather but small he-have

καὶ εὐαρίθμητον· ὁρᾷ δὲ τοὺς πολεμίους πρὸς λείαν
and easily-counted he-see and the enemies for plunder
σπεύδοντας καὶ ἐπειγομένους· ἐπιγνῷ δὲ τὴν χώραν, ἐν
hastening and pressing-on he-recognize and the land in
ᾗ τὴν ὁρμὴν ποιοῦνται, μήπω ἐκσπηλευθεῖσαν, καὶ εἰς
which the rush they-make not-yet cleared-of-people and into
τὰ κάστρα ἢ εἰς τὰ ὀχυρώματα φυγαδευθεῖσαν· χρὴ
the forts or into the strongholds put-to-flight it-is-needful
τῆς τοιαύτης χώρας εἴτε τὸν τουρμάρχην εἴτε ἑτέρους
of-the such land either the tourmarch or other
ἄρχοντας σπουδῇ πολλῇ ἀποστεῖλαι, καὶ ἔμπροσθεν τῶν
officers with-haste much to-send and in-front-of the
πολεμίων γενέσθαι καί, ὡς οἷόν τε ὦσι, καὶ τοὺς τῶν
enemies to-get and as possible — they-be also the of-the
χωρίων οἰκήτορας καὶ τὰ τούτων κτήνη φυγαδεῦσαι καὶ
villages inhabitants and the their beasts to-put-to-flight and
ἐκσπηλεῦσαι. ὁρῶντα δὲ τὸν στρατηγὸν τοὺς πολεμίους
to-clear seeing and the general the enemies
ἤδη μέλλοντας πρὸς τὸ τῆς ἡμέρας διάφαυσμα τοῖς
already about toward the of-the day dawn the
χωρίοις ἐπιθέσθαι, ὄπισθεν αὐτοὺς ἐπακολουθοῦντα, καθὼς
villages to-attack behind them following as
ἀνωτέρω εἰρήκαμεν, τῇ αὐτῇ νυκτὶ δεῖ ἐμφανισθῆναι
above we-have-said on-the same night he-must to-show-himself
τοῖς πολεμίοις, πρὸς πόλεμον δῆθεν παρασκευαζόμενον·
to-the enemies for war as-it-were preparing
ἵν' ὡς ἐκ τούτου δυνηθῇ τὴν ὁρμὴν αὐτῶν ἀναστεῖλαι,
so-that as from this he-may-be-able the rush their to-check
καὶ ἀβλαβῆ τὴν χώραν διατηρῆσαι. καὶ εἰ μὲν ποταμός
and unharmed the land to-preserve and if indeed a-river
ἐστιν ἐν τῇ ὁδῷ δυσπέρατος, καὶ μέλλουσι τοῦτον
is on the road hard-to-cross and are-about it

διαπερᾶν οἱ πολέμιοι, ἢ στένωμα ἢ δυσχωρία ἐν τῇ
to-cross the enemies or narrow-pass or rough-place on the
ὁδῷ, ἡνίκα τὸν ποταμὸν οἱ πλείους διαπεράσωσιν, ἢ
road when the river the more(-part) cross or
εἰς τὸ στένωμα χωρηθῶσιν, εἰς τὸν ὄπισθεν λαὸν αὐτῶν
into the narrow-pass move to the rear troops their
ἀποστεῖλαι. καὶ αὐτὸν ἐκεῖνον τὸν στρατηγὸν παραγενέσθαι
to-send and himself that the general to-come
μετὰ ἐκλεκτῶν ἀρχόντων καὶ καλοϊππαράτων, καὶ
with picked officers and well-mounted(-men) and
ἐμφανισθῆναι τοῖς πολεμίοις, καὶ πρὸς μάχην δῆθεν κατ᾽
to-show-himself to-the enemies and for battle as-it-were against
αὐτῶν παρασκευασθῆναι, τοῦ συμβαλεῖν πόλεμον· τοὺς
them to-be-prepared for-the to-join war the
παριππαράτους καὶ ἐνταγιστράτους διαχωρίζων ἐξ αὐτοῦ,
spare-mounts and ration-bearers separating from himself
καὶ εἰς ὀχυρώματα εἴτε κάστρον ἀποστέλλων, εἰ τύχῃ
and into strongholds or fort sending if it-happen
πλησίον. εἰ δὲ ποταμὸς οὐκ ἔστιν οὐδὲ δυσχωρία ἐν τῇ
near if but a-river not is nor rough-place on the
ὁδῷ, καὶ ὡσαύτως δεῖ μικρόν τι παραβουλεύσασθαι
road also likewise must-be small something to-devise
καὶ πρὸς μάχην ὁρμῆσαι, ἕως οὗ καὶ ἐπιδιωχθῇ παρ᾽
and for battle to-rush until — also he-be-pursued by
αὐτῶν τῇ νυκτί· ἵνα διαγινώσκοντες σαφῶς οἱ πολέμιοι
them in-the night so-that recognizing clearly the enemies
τὸν στρατηγὸν ἐπακολουθοῦντα, συσταλῶσι, καὶ μηδαμῶς
the general following they-may-be-checked and in-no-way
ἐξελάσαι τολμήσωσι, καὶ τὴν ἐπίθεσιν κατὰ τῶν χωρίων
to-ride-out dare and the attack against the villages
ποιήσωνται. καὶ τούτου γενομένου, τῆς μελλούσης
make and this having-happened from-the about

γενέσθαι ἐπιδρομῆς ἐν τοῖς χωρίοις καὶ αἰχμαλωσίας
to-be incursion in the villages and captivity
ῥύσεται αὐτούς, καὶ ἐλευθερώσει. μετὰ πολλῆς δὲ
he-will-rescue them and will-free with much and
ἀκριβείας καὶ διασκέψεως ποιείτω τὴν ἔνδειξιν καὶ κατ᾽
exactness and consideration let-him-make the show and against
αὐτῶν προσβολήν, δι᾽ ὀλίγων καὶ ἐκλεκτῶν, ὡς ἔφημεν,
them attack through few and picked as we-said
ἱππέων, καὶ εὐθέως ὑποστρεφέσθωσαν φεύγοντες πρὸς τὸν
horsemen and at-once let-them-return fleeing toward the
στρατηγὸν καὶ τὸ ὀχύρωμα, καὶ μὴ ἀμέτρως καὶ παρὰ
general and the stronghold and not immoderately and beyond
τὸ δέον ἐφορμάτωσαν κατὰ τῶν ἐχθρῶν. λαοῦ γὰρ ἴσως
the needful let-them-charge against the enemies of-troops for perhaps
παρὰ τὴν αὐτῶν δύναμιν αὐτοῖς ἐπιφορτισθέντος, πολεμίας
beyond the their power on-them having-been-laden of-enemy
χειρὸς θᾶττον γενήσονται παρανάλωμα· καὶ μάλιστα, εἰ
hand more-quickly they-will-become a-casualty and most if
τύχῃ πανσέληνον εἶναι τὴν νύκτα. εἰ δὲ ἀφεγγής ἐστι
it-happen full-moon to-be the night if but moonless it-is
καὶ ζοφώδης, ἀβλαβῶς τὴν τοιαύτην πρᾶξιν ἐργάσονται,
and gloomy unharmed the such deed they-will-accomplish
καὶ δυοῖν θάτερον πάντως φανεῖεν κατωρθωκότες·
and of-two the-other-one certainly they-would-appear having-succeeded
ἢ μηδόλως ἐξελάσαι πρὸς λείαν τοὺς πολεμίους
either not-at-all to-ride-out for plunder the enemies
παρασκευάσαντες, ἤ, εἴπερ καὶ ὅλως ἐκδράμωσιν, ἄχρι
having-caused or if-indeed even at-all they-run-out until
τοῦ αὐγάσαι τὴν ἡμέραν τελείως οὐδαμῶς ἐξελάσαι
the to-dawn the day completely in-no-way to-ride-out
κατατολμήσουσι, καὶ τότε ὀλίγοι τινές. οἱ γὰρ πλείους τὸν
will-dare and then few some the for more(-part) the

παρὰ τοῦ στρατηγοῦ πόλεμον ὑφορώμενοι τῆς τοῦ Ἀμηρᾶ
from the general war suspecting from-the of-the Emir
παρατάξεως οὐκ ἀποστήσονται. καὶ οὕτως ποιοῦντος τοῦ
battle-array not will-stand-off and so doing the
στρατηγοῦ, ἐκφύγωσιν οἱ τῶν χωρίων οἰκήτορες εἴς τε τὰ
general may-escape the of-the villages inhabitants into both the
ὀχυρώματα καὶ τὰ κάστρα, καὶ ἀβλαβεῖς διατηρηθῶσιν.
strongholds and the forts and unharmed be-preserved
13 Περὶ τοῦ ἐνεδρεῦσαι κατὰ τῶν λεγομένων μινσουρατόρων
about the to-ambush against the called camp-surveyors
ἐν τοῖς ἀπλήκτοις.
in the encampments
Τῶν δὲ πολεμίων φωσσατικῶς τὰς χώρας ἡμῶν
of-the and enemies army-wise the lands our
δῃούντων, καὶ κοῦρσα πόῤῥωθεν μὴ ἀποστελλόντων, ἀλλ᾽
ravaging and raiding-forces far not sending but
ἑαυτοὺς ἀσφαλιζομένων, σπουδάσει δι᾽ ἑτέρας μηχανῆς
themselves securing he-will-hasten through another device
τραυματίσαι αὐτούς. διασκοπῆσαι δὲ χρὴ καὶ στοχάσασθαι,
to-wound them to-examine and he-must also to-estimate
ἀφ᾽ οὗ τόπου τὸ τῶν πολεμίων ὑπάρχει ἄπληκτον, καὶ ἐν
from which place the of-the enemies is encampment and in
ποίῳ τῇ ἐπιούσῃ μέλλει ἀπληκεύειν. καὶ εἰ μακρότατόν
what on-the following it-is-about to-encamp and if very-long
ἐστι τὸ διάστημα τοῦ ἀπλήκτου, ὡσεὶ μιλίων ἕξ, καὶ δέκα,
is the distance of-the encampment about miles six and ten
καὶ ἐπέκεινα, ὥστε τὸ τῆς ὁδοῦ μῆκος δύνασθαι κατακόπους
and beyond so-that the of-the road length to-be-able worn-out
αὐτούς τε καὶ τοὺς ἵππους αὐτῶν ἐργάσασθαι· πλησίον
them both and the horses their to-make near
τοῦ τόπου, ἐν ᾧ μέλλουσι καταλύειν, διασκοπήσας, καὶ
the place in which they-are-about to-halt having-examined and

εὑρὼν λόχον ἐπιτήδειον, μαχίμους καὶ ἐκλεκτοὺς ἄνδρας
having-found ambush suitable warlike and picked men
ἱππότας τριακοσίους, ἢ καὶ τούτων ἔλαττον, ἀπολεξάμενος,
horsemen three-hundred or also than-these fewer having-picked-out
ἐν αὐτῷ ἀποκρύψεις. καταστήσεις δὲ καὶ ἑτέραν ἐνέδραν
in it you-will-hide you-will-set and also another ambush
μετὰ παντὸς τοῦ λαοῦ σου ἐν ἐπιτηδείῳ τόπῳ, ἔχοντι
with all the troops your in suitable place having
καὶ ὀχύρωμα εἰς ἀσφάλειαν αὐτοῦ. εἰ δὲ καὶ κάστρον
also stronghold for safety its if and also a-fort
πλησίον τύχῃ, ἐστὶ καὶ αὐτὸ εἰς περισσοτέραν σου
near it-happen it-is also it for greater your
σωτηρίαν καὶ ὠφέλειαν. καὶ εἰ χρεία γένηται τῶν πεζῶν,
safety and benefit and if need arise of-the foot-soldiers
ἐξελθέτωσαν καὶ αὐτοὶ τοῦ κάστρου, συμμαχοῦντες
let-them-come-out also themselves from-the fort fighting-alongside
καὶ ἐπιβοηθοῦντές σοι. οἱ δὲ προτρέχοντες τοῦ λαοῦ
and helping you the and running-ahead of-the troops
τῶν πολεμίων καταλαβεῖν τὸν τόπον πρὸς τὸ εὐτρεπίσαι
of-the enemies to-reach the place for the to-make-ready
τὰ ἑαυτῶν ἄπληκτα, ὡς εἰώθει, οὓς μινσουράτορας
the their-own encampments as was-customary whom camp-surveyors
εἴθισται Ῥωμαίοις καλεῖν, καὶ ἀσχολουμένων ἐν αὐτοῖς,
it-is-customary for-Romans to-call and being-busy in them
ἐξελθέτωσαν κατ᾽ αὐτῶν οἱ παρὰ σοῦ ἐν τῷ πρώτῳ
let-them-come-out against them the(-men) by you in the first
λόχῳ πλησίον τοῦ ἀπλήκτου προκαταστάντες ὀξέως σὺν
ambush near the encampment stationed-beforehand sharply with
ἐλασίᾳ πολλῇ, καὶ τούτους βοηθείᾳ Θεοῦ χειρώσονται. καὶ
charge much and them by-help of-God will-subdue and
εἴγε τούτους οἱ ἐχθροὶ καταδιώξουσιν ἕως τοῦ τόπου, ἐν
if-indeed them the enemies will-pursue as-far-as the place in

ᾧπερ δυνατὸν ἔγκρυμμα κατέστησας, ἐξερχόμενος κατ'
which-indeed strong concealment you-set coming-out against
αὐτῶν ἀνδρικῷ καὶ γενναίῳ ὁρμήματι ὑπερισχύσεις τῶν
them with-manly and noble onset you-will-overpower the
διωκόντων, καὶ τρόπαιον μνήμης ἄξιον ἀνεγερεῖς. καὶ εἴγε
pursuers and trophy of-memory worthy you-will-raise and if-indeed
συμβῇ δυνάμεις τῶν πολεμίων καταλαβεῖν, ἀντιμαχομένας
it-happen forces of-the enemies to-overtake fighting-against
σοι, ἔχων τὴν τοῦ ὀχυρώματος βοήθειαν καὶ τῶν πεζῶν,
you having the of-the stronghold help and of-the foot-soldiers
οὕτως καταισχυνεῖς αὐτούς, καὶ πολλοὺς τῶν οἰκείων
thus you-will-put-to-shame them and many of-the own(-men)
ἀποβαλόντας ἀπράκτους παρασκευάσεις ὑποστρέψαι.
having-lost unsuccessful you-will-cause to-return

VI · WHEN THE HORSE LEAVES THE FOOT

Raiders may leave their camp at evening, so that it looks full though its horsemen are gone. Two men who watched it on earlier nights judge from its noise, its horses' neighing, and the ground its tents cover whether many are missing, while horsemen search the roads for tracks. If the camp is strong the general catches the raiders scattered in the villages; if the news comes too late, he prepares to fight the main army on the march.

14 Περὶ τῆς ὑποχωρήσεως τῶν ἱππέων ἀπὸ τῶν πεζῶν,
about the withdrawal of-the horsemen from the foot-soldiers
ὁδοιπορούντων ὁμοῦ.
marching together
Χρὴ οὖν καὶ τοῦτό σε ἀκριβῶς, ὦ στρατηγέ, σκοπεῖν,
must then also this you exactly O general to-consider
καὶ τῶν πολεμίων ἀγωνιζομένων διαλαθεῖν σε, καὶ
and the enemies striving to-escape-the-notice-of you and

κοῦρσα ἀποστέλλειν, καὶ τὰς χώρας ἡμῶν ληΐσασθαι,
raiding-forces to-send and the lands our to-plunder
ἄγρυπνον ἔχειν τὸν νοῦν· μή ποτέ σε ἡ ἐπίνοια καὶ
sleepless to-have the mind lest ever you the design and
μηχανὴ αὐτῶν διαλάθῃ. ὅπερ γὰρ λέξω, καὶ ἐν ἄλλοις
device their escape-you which for I-shall-say also in other(-cases)
οἱ αὐτοὶ ἐξειργάσαντο. ὁμοῦ γὰρ αὐτῶν τῶν τε ἱππέων
the same accomplished together for them the both horsemen
καὶ πεζῶν σὺν τῇ ἀποσκευῇ ὁδοιπορούντων, καθὼς
and foot-soldiers with the baggage marching as
ταῖς ὄπισθεν καὶ διελθούσαις ἡμέραις ἐποίουν οἱ εἰς
in-the past and gone-by days they-did the(-men) to
κοῦρσα ἐξελάσαι βουλόμενοι, ἡνίκα πρὸς δυσμὰς ὁ
raiding-forces to-ride-out wishing when toward west the
ἥλιος καταντήσῃ, ἡ μὲν ἀποσκευὴ αὐτῶν καὶ ἅπαν τὸ
sun arrives the indeed baggage their and all the
ὑπουργικὸν σὺν τῷ πεζῷ τούτῳ στρατεύματι καὶ τοῖς εἰς
serving(-part) with the infantry this army and the for
φυλακὴν αὐτῶν καταλιμπανομένοις πολεμισταῖς ἱππεῦσι τὰς
guard their left-behind warrior horsemen the
σκηνὰς πηξάμενοι, ὡς ἔθος αὐτοῖς ἀπληκεύουσιν, οἱ
tents having-pitched as custom for-them encamp the(-men)
δὲ εἰς κοῦρσον ἑτοιμασθέντες, καὶ τὰς ἡμετέρας χώρας
and for raiding-force having-been-made-ready and the our lands
καταδραμεῖν βουλόμενοι, πρὸς τὸ μὴ κονιορτὸν αὐτῶν
to-overrun wishing for the not dust their
φανῆναι, ἀμφὶ δείλην ὀψίαν πρὸς κοῦρσον ὁρμῶσι. τῷ δὲ
to-appear about evening late to raiding-force set-out to-the and
παραμεῖναι ὀφείλοντι τῷ τῶν πολεμίων φωσσάτῳ, εἴτε
to-stay-beside obliged the of-the enemies army whether
τουρμάρχης ἐστὶν εἴθ' ἕτερος ἄρχων, μετὰ τοῦ λαοῦ αὐτοῦ
tourmarch he-is or another officer with the troops his

ἐρχόμενον χρὴ πλησιάσαι τῷ τόπῳ, ἐν ᾧ αὐλίζονται.
coming it-is-needful to-draw-near to-the place in which they-encamp
ἐπειδή, τῆς νυκτὸς καταλαμβανούσης, ὀφείλουσι τότε
since of-the night overtaking they-ought then
κατὰ τὸ εἰωθὸς εἰσέρχεσθαι, καὶ πλησιάζειν ταῖς σκηναῖς
according-to the custom to-go-in and to-draw-near to-the tents
αὐτῶν, μετὰ πρώτην ὥραν ἢ καὶ δευτέραν τῆς νυκτός. καὶ
their after first hour or also second of-the night and
ἐὰν οὐχ εὑρήσωσιν ἐν τῷ ἀπλήκτῳ τοὺς τῶν πολεμίων
if not they-find in the encampment the of-the enemies
ἱππεῖς, διὰ τὸ ἤδη αὐτοὺς εἰς κοῦρσον πορευθῆναι,
horsemen because-of the already them to raiding-force to-have-gone
οὐκ ἔστι δυνατὸν ἄλλως τούτους, τοὺς τὴν παραμονὴν
not is possible otherwise these the the staying-beside
πεπιστευμένους ἄρχοντας, τοῦτο ἀκριβῶς διαγνῶναι, καὶ
entrusted officers this exactly to-discern and
τῷ στρατηγῷ τὸ ἀληθὲς καταμηνύσαι, εἰ μὴ οὕτως
to-the general the truth to-report if not thus
ὡς λέξω. δεῖ τοίνυν τοὺς καθ' ἑκάστην ἡμέραν πρὸς
as I-shall-say must therefore the(-men) on each day for
παραμονὴν ἀποστελλομένους, ἐκ τῶν παραμεινάντων
staying-beside being-sent from the(-men) having-stayed-beside
τὰς ὄπισθεν καὶ διελθούσας ἡμέρας τὸ φωσσάτον, καὶ
the past and gone-by days the army and
εἰς τετράδια ἱσταμένους, καθὼς ἀνωτέρω εἰρήκαμεν,
in foursomes standing as above we-have-said
δύο ἐξ αὐτῶν ἐμπειροτάτους καὶ ἀνδρείους τῶν
two from them most-experienced and brave of-the(-men)
εἰς τὴν παραμονὴν ἀπερχομένων παρὰ τοῦ στρατηγοῦ
to the staying-beside going-off from the general
λαμβάνειν· ἵνα καλῶς παρ' αὐτῶν ἀναδιδάσκωνται, οἷα
to-take so-that well by them they-may-be-informed what

πρότερον κἀκεῖνοι ἐνήργησαν καὶ ἐθεάσαντο. αὐτοὺς δὲ
before also-those did and saw them and
τοὺς δύο ἀναμίξας ἑνὶ τῶν τεσσάρων τετραδίων ὁ
the two having-mixed with-one of-the four foursomes the
τουρμάρχης ἀποστειλάτω κατὰ τὸν προεκτεθέντα τύπον
tourmarch let-him-send according-to the set-out-before pattern
τῆς παραμονῆς, ἐγγίσαι τῷ φωσσάτῳ, πρὸς τὸ ἀκούειν
of-the staying-beside to-draw-near to-the army for the to-hear
τὰς φωνὰς αὐτῶν, καὶ τοὺς χρεμετισμοὺς τῶν ἵππων.
the voices their and the neighings of-the horses
οἱ οὖν δύο ἄνδρες οἱ πρότερον παραμείναντες ἐν
the then two men the(-ones) before having-stayed-beside in
ἄλλοις ἀπλήκτοις τῷ φωσσάτῳ, ὅτε καὶ ὁ λαὸς αὐτῶν
other encampments the army when also the troops their
ἅπας συνῆν καὶ συνηπλήκευε, δυνήσονται στοχάσασθαι
all were-together and encamped-together will-be-able to-estimate
ἀπό τε τῆς τοῦ λαοῦ ὀχλαγωγίας καὶ ταραχῆς, καὶ τοῦ
from both the of-the troops tumult and disturbance and the
χρεμετισμοῦ τῶν ἵππων, ἀπό τε τοῦ χώρου, ἐν ᾧ τὰς
neighing of-the horses from and the space in which the
σκηνὰς ἐπήξαντο. οὐ γὰρ εὑρεθήσεται ὁ χῶρος τὸ τρίτον
tents they-pitched not for will-be-found the space the third
μέρος ἔχων, ὃν ἐν τοῖς ὄπισθεν ἀπλήκτοις κατεῖχον, ὅτε
part having which in the past encampments they-held when
ἅπαντες ὁμοῦ ἠπλήκευον. καὶ ἐκ τούτου δυνατόν ἐστι
all together encamped and from this possible it-is
στοχάσασθαι καὶ κατανοῆσαι, ὡς ἐπιλείπει ὁ λαὸς τῶν
to-estimate and to-perceive that is-lacking the troops of-the
πολεμίων ἐν ἐκείνῳ τῷ χώρῳ, καὶ μὴ εἶναι σὺν αὐτοῖς ἐν
enemies in that the space and not to-be with them in
τῷ ἀπλήκτῳ. καὶ πῶς γὰρ οὐ δυνατὸν τοῦτο στοχάσασθαι,
the encampment and how for not possible this to-estimate

ὁπόταν ἓξ χιλιάδες ἀνδρῶν, πλεῖον ἢ ἔλασσον, καὶ ἵππων
whenever six thousands of-men more or less and of-horses
ἄχρι τῶν δώδεκα ἐπιλείπωσιν ἐκ τοῦ ἀπλήκτου, οὓς
up-to the twelve are-lacking from the encampment whom
πάντας ὁμοῦ εἶναι οἱ πρώην παραμείναντες ἑώρων
all together to-be the(-men) formerly having-stayed-beside saw
καὶ κατεστοχάζοντο; διὰ οὖν τὸ ἀμφίβολον, πρὸς τὸ
and estimated because-of then the doubt for the
καὶ τελείαν λαβεῖν τοὺς παραμένοντας περὶ τούτου
also complete to-take the(-men) staying-beside about this
τῆς ἀληθείας κατάληψιν, δέον καὶ τοῦτο τὸν εἰς
of-the truth apprehension it-is-needful also this the to
τὴν παραμονὴν ἀποσταλέντα τουρμάρχην διαπράξασθαι.
the staying-beside having-been-sent tourmarch to-accomplish
ἱππότας ὀκτώ, ἄνδρας τῶν ἐμπειροτάτων καὶ τὰς ὁδοὺς
horsemen eight men of-the most-experienced and the roads
εἰς ἄκρον ἐξησκημένους ἀπολεξάμενος, διορίσασθαι, εἴτε
to the-utmost trained having-picked-out to-appoint either
δεξιᾷ εἴτε εὐώνυμα ἐκ τῶν ὄπισθεν, ἐν ᾧ ὁ τουρμάρχης
on-right or on-left from the rear in which the tourmarch
ἵσταται, ἔμπροσθεν γενέσθαι τῶν πολεμίων, ἀφισταμένους
stands in-front to-get of-the enemies standing-off-from
τῶν σκηνῶν μιλίου τὸ ἥμισυ· καὶ ἔμπροσθεν γενομένους
the tents of-a-mile the half and in-front having-got
ἀκριβῶς ἐρευνῆσαι, καὶ τὰς ὁδοὺς ἀναψηλαφῆσαι. καὶ
exactly to-search and the roads to-grope-over and
εἰ ἄρα οἱ τῶν πολεμίων ἱππεῖς διῆλθον, καὶ ἄχρι τῶν
whether then the of-the enemies horsemen passed-through and up-to the
διακοσίων ὑπῆρχον, διαγνώσουσι τὴν τούτων διάβασιν
two-hundred were they-will-discern the their crossing
οἱ ἀποσταλέντες, μήτοι γε ἄχρι τῶν δώδεκα χιλιάδων
the(-men) having-been-sent much-less — up-to the twelve thousands

ἵπποι, πλέον ἢ ἔλασσον. τὰ γὰρ ἴχνη τῶν τοσούτων ἵππων,
horses more or less the for tracks of-the so-many horses
ὡς προσφάτως διελθόντων, σαφῶς οἱ ἀποσταλέντες
as freshly having-passed clearly the(-men) having-been-sent
διαγνώσονται, καὶ τάχει πολλῷ πρὸς τὸν τουρμάρχην
will-discern and with-speed much to the tourmarch
ὑποστρέφοντες περὶ τούτου ἀπαγγειλάτωσαν, καὶ διὰ
returning about this let-them-report and through
ποίας ὁδοῦ τὴν ὁρμὴν ἐποιήσαντο. ὁ δὲ τουρμάρχης
what road the rush they-made the and tourmarch
παραυτίκα σπουδῇ πολλῇ τῷ στρατηγῷ καταμηνυσάτω
at-once with-haste much to-the general let-him-report
περὶ τούτου, καὶ διὰ ποίας ὁδοῦ ἐπορεύθησαν. δεῖ οὖν τὸν
about this and through what road they-went must then the
στρατηγὸν πρὸς ταῦτα βουλεύσασθαι μετὰ τῶν συνόντων
general about these-things to-deliberate with the being-with
αὐτῷ στρατηγῶν, καὶ λοιπῶν ἐμπείρων. καὶ εἰ μὲν ὁρᾷ
him generals and other experienced(-men) and if indeed he-sees
τὸ ἑαυτοῦ στράτευμα δύναμιν ἔχον τοῦ ἀντιπαρατάξασθαι
the his-own army power having for-the to-array-against
τῷ τῶν πολεμίων φωσσάτῳ, πρὸς τὴν κατ᾽ αὐτῶν μάχην
the of-the enemies army for the against them battle
παρασκευασθήτω· εἴγε πλησίον ἐστὶ καὶ τὸ τῶν πεζῶν
let-him-be-prepared if-indeed near is also the of-the foot-soldiers
αὐτοῦ στράτευμα, δυνάμενον τῇ αὐτῇ ἡμέρᾳ ἑνωθῆναι αὐτῷ.
his army able on-the same day to-be-united with-him
εἰ οὖν ἐστιν ὁ χῶρος, ἐν ᾧ οἱ πολέμιοι αὐλίζονται,
if then is the space in which the enemies encamp
ὀχύρωμα ἔχων εἰς ἐκείνων ἀσφάλειαν, ἢ ῥύακα δυσδιάβατον,
a-stronghold having for their safety or gully hard-to-cross
οὐ χρὴ πρὸς τὸν κατ᾽ αὐτῶν ἐξαρτύεσθαι πόλεμον.
not it-is-needful for the against them to-prepare war

εἰ δὲ ἐφόμαλός ἐστι πανταχόθεν, μάλιστα δὲ καὶ τῶν
if but level it-is on-all-sides most and also the
πεζῶν δυναμένων καταλαβεῖν ἐν ἡμέρᾳ τῆς τοῦ πολέμου
foot-soldiers being-able to-arrive in day of-the of-the war
προσβολῆς, παρασκευασθήτω πρὸς τοῦτο. εἰ δὲ ὁ χῶρος
attack let-him-be-prepared for this if and the space
ὀχυρότητα ἔχει, ὡς ἔφημεν, καὶ τὸ πεζικὸν στράτευμα
strength has as we-said and the infantry army
ἐπιλείπει, δέον ὁρμῆσαι τάχει πολλῷ πρὸς τὸ τοὺς
is-lacking it-is-needful to-set-out with-speed much for the the
κουρσεύοντας τῶν πολεμίων καταλαβεῖν· καὶ ἄρχοντα μὲν
raiding of-the enemies to-overtake and an-officer indeed
χρήσιμον ἀποστεῖλαι, τοῦ ἐπιλαβέσθαι τῶν ἰχνῶν τῶν
useful to-send for-the to-take-hold-of the tracks of-the
πρὸς τὴν ἐκδρομὴν τοῦ κούρσου ὁρμησάντων πολεμίων.
for the sally of-the raiding-force having-set-out enemies
αὐτὸς δὲ μετὰ παντὸς τοῦ λαοῦ ἐκ πλαγίου περιπατῶν
himself and with all the troops from flank going-about
σπευσάτω ὀξύτερον βαδίζων πλησίον γενέσθαι, καθὼς τὰς
let-him-hasten more-quickly walking near to-get as the
ὁδοὺς ἐπίσταται, ἐν αἷς οἱ πολέμιοι περιπατοῦσι. καὶ
roads he-knows in which the enemies go-about and
μετὰ ἀσφαλείας περιπατείτω. ἡνίκα δὲ τὸ διάφαυσμα τῆς
with safety let-him-go-about when and the dawn of-the
ἡμέρας ἐγγίσῃ, ἀποστειλάτω βιγλάτορας εἰς κατασκοπὴν
day draw-near let-him-send lookouts for spying
τῶν πολεμίων· καὶ εἰς ὑψηλοὺς βουνοὺς ἀνερχόμενοι
of-the enemies and onto high hills going-up
ἀγωνισάσθωσαν θεάσασθαι αὐτούς. ὁ δὲ στρατηγός,
let-them-strive to-see them the and general
ἡμέρας γενομένης, τὸν ἑαυτοῦ λαὸν ἀποκρυπτέτω, ἵνα
day having-come the his-own troops let-him-hide so-that

μή, τὸν κονιορτὸν αὐτοῦ οἱ πολέμιοι θεασάμενοι, μᾶλλον
not the dust his the enemies having-seen rather
ἐνεδρευθῇ παρ᾽ αὐτῶν. καταμηνυόμενος δὲ ἢ παρὰ τῶν
he-be-ambushed by them being-informed and either by the(-men)
ἐπακολουθούντων τῷ κούρσῳ, ἢ παρὰ τῶν εἰς ἐπισκοπὴν
following the raiding-force or by the(-men) for watching
καὶ βίγλαν ἀποσταλέντων, ἐν ᾧ τόπῳ ἡ παράταξίς ἐστι
and watch-post having-been-sent in which place the battle-array is
τῶν πολεμίων ἡ τὸν ἀρχηγὸν αὐτῶν ἔχουσα, ὀλίγους
of-the enemies the(-one) the leader their having few
τινὰς μεθ᾽ ἑαυτοῦ λαβὼν ὁ στρατηγὸς καὶ εἰς ὑψηλὴν
some with himself having-taken the general and onto high
σκοπιὰν ἀνερχόμενος, σπευσάτω οἰκείοις ὀφθαλμοῖς τὴν
lookout going-up let-him-hasten with-his-own eyes the
τῶν πολεμίων παράταξιν θεάσασθαι. ταύτην δὲ θεασάμενος,
of-the enemies battle-array to-see it and having-seen
ἐπεὶ καὶ τὸ πλῆθος τοῦ λαοῦ αὐτῶν διεσκορπίσθη πρὸς
since also the multitude of-the troops their was-scattered for
λείαν, στοχαζέσθω μετὰ τῶν σὺν αὐτῷ τὸ πλῆθος τῆς
plunder let-him-estimate with the(-men) with him the multitude of-the
παρατάξεως τῶν πολεμίων, καὶ τὴν τοῦ ἰδίου λαοῦ ἰσχύν.
battle-array of-the enemies and the of-the own troops strength
καὶ ἐὰν πλεῖόν ἐστι τὸ ἑαυτοῦ στράτευμα τῶν πολεμίων,
and if more is the his-own army than-the enemies
ὁρμησάτω κατ᾽ αὐτῶν, ὡς ἤδη ἀνωτέρω διετυπώσαμεν·
let-him-set-out against them as already above we-prescribed
καὶ εἰ παράσχῃ αὐτῷ Θεὸς βοήθειαν, καὶ δυνηθῇ τὴν
and if afford to-him God help and he-be-able the
παράταξιν αὐτῶν τραυματίσαι καὶ καταδιῶξαι, μέγα ἔργον
battle-array their to-wound and to-pursue great deed
καὶ μνήμης ἄξιον ἐπιτελέσει. εἰ δὲ πλῆθός ἐστι τοῦ λαοῦ
and of-memory worthy he-will-accomplish if but multitude is of-the troops

ἐν τῇ τῶν ἐχθρῶν παρατάξει, δέον ἐστὶ σπουδάσαι τὸν
in the of-the enemies battle-array needful it-is to-strive the
στρατηγὸν ἔμπροσθεν γενέσθαι, ἐν οἷς χωρίοις οἱ πολέμιοι
general in-front to-get in which villages the enemies
τὰς ἐκδρομὰς ἐποιήσαντο, ἐκ τῶν ὄπισθεν αὐτῶν γενόμενον.
the sallies made from the rear their having-got
καὶ τούτων διεσκεδασμένων ἐπιτυγχάνων, καὶ τῇ ἐλασίᾳ
and these dispersed coming-upon and by-the charge
ἐκλελυμένων καὶ αὐτῶν καὶ τῶν ἵππων αὐτῶν, εὐχερῶς
exhausted both themselves and the horses their easily
τούτους καταγωνίσεται δι᾽ ὅλης τῆς ἡμέρας, ἀναψηλαφῶν
them he-will-overcome through whole the day groping-for
αὐτοὺς ἐν τοῖς χωρίοις· κἀκείνους μὲν λόγῳ ἀνδραπόδων
them in the villages and-those indeed in-the-status of-captives
καταστήσει, καὶ ὡς βούλεται τοῖς κατ᾽ αὐτῶν
he-will-set and as he-wishes with-the(-things) against them
χρήσεται. τοὺς δὲ γεωργοὺς ἐλευθερώσει τῆς αἰχμαλωσίας,
he-will-deal the and farmers he-will-free from-the captivity
καὶ εἴ τι ἂν ἔτυχον τῶν αὐτῶν λαβεῖν. εἰ δέ γε
and if anything — they-happened of-the same to-take if and at-least
καὶ φούλκῳ συναντήσῃ τῷ εἰς φυλακὴν ἐπακολουθοῦντι
also a-unit he-meet the for guard following
τῶν ἐξελαυνόντων, παρασκευασθήτω πρὸς τὸν κατὰ τοῦ
of-the riding-out let-him-be-prepared for the against the
φούλκου πόλεμον, καθὼς ἔμπροσθεν ἐξεθέμεθα, καὶ Θεοῦ
unit war as before we-laid-out and by-God's
συνεργίᾳ τῆς κατ᾽ αὐτῶν μάχης κρατήσει. εἰ δὲ τοῖς ἐν
help the against them battle he-will-win if but for-the(-men) in
τῇ αὐτῇ νυκτὶ παραμεῖναι σταλεῖσι τοῖς πολεμίοις ἐναντία
the same night to-stay-beside sent with-the enemies opposing
ἀπηντήκασι συναντήματα, διὰ τὸ μήπω προκαταλαβεῖν
have-met encounters because-of the not-yet to-have-reached-first

αὐτούς, καὶ εἰς τοὺς τόπους γενέσθαι, ἐν οἷς τὸ φωσσάτον
them and into the places to-get in which the army
βλέπειν ἠδύναντο, καὶ τὰς φωνὰς αὐτῶν ἐνωτίζεσθαι· καὶ
to-see they-could and the voices their to-hear and
τὸ κοῦρσον αὐτῶν προεξῆλθεν, ὡς ἔφημεν, πρὶν τὴν περὶ
the raiding-force their went-out-before as we-said before the about
τούτου ἀκριβῆ λαβεῖν αὐτοὺς τῆς ἀληθείας κατάληψιν·
this exact to-take them of-the truth apprehension
καὶ ἐκ τοῦ τοιούτου συναντήματος βραδῦναι καὶ χρονίσαι
and from the such encounter to-be-slow and to-delay
συνέβη τὴν πρὸς τὸν στρατηγὸν ἀποστελλομένην βεβαίαν
happened the to the general being-sent sure
ἀπαγγελίαν τοῦ πράγματος, καὶ τὸ πρὸς τὸν στρατηγὸν
report of-the matter and the to the general
ἀποστελλόμενον μανδάτον· εἰ μὲν πρὸς ὥραν ἐννάτην τῆς
being-sent message if indeed about hour ninth of-the
νυκτὸς καὶ ἐπέκεινα καταμηνυθῇ ὁ στρατηγὸς περὶ τούτου,
night and beyond be-informed the general about this
καὶ ὁρᾷ τὸ στενὸν τοῦ καιροῦ, ἐπεὶ καὶ τὸ κοῦρσον
and sees the narrowness of-the time since also the raiding-force
τῶν πολεμίων ἔτι τῆς ἡμέρας ἐπικρατούσης τὴν κίνησιν
of-the enemies still the day prevailing the movement
ἐποιήσατο, καὶ δι᾽ ὅλης τῆς νυκτὸς πόῤῥω που
made and through whole the night far somewhere
γενέσθαι ἔμελλε, καὶ οὐ δυνατόν, τούτους διεσκεδασμένους
to-be was-about and not possible these dispersed
καταλαβεῖν· χρὴ αὐτὸν εἰς τὸν κατὰ τοῦ φωσσάτου
to-overtake must him for the against the army
εὐτρεπισθῆναι πόλεμον. καὶ εἰ μὲν διημερεῦσαι βουληθῶσιν
to-be-made-ready war and if indeed to-spend-the-day they-wish
ἐν ᾧ αὐλίζονται τόπῳ, παρασκευασθῆναι αὐτὸν εἰς
in which they-encamp place to-be-prepared him for

τὴν κατ᾽ αὐτῶν μάχην, καθὼς ἀνωτέρω τὸν κατὰ τοῦ
the against them battle as above the against the
φωσσάτου πόλεμον γενέσθαι ἐξεθέμεθα. ἀλλ᾽ οὐκ ἂν
army war to-be we-set-out but not —
διημερεύσουσιν ἐν αὐτῷ τῷ χώρῳ, διὰ τὸ κατεπείγεσθαι
they-will-spend-the-day in the-very the space because-of the to-be-pressed
ταῖς ἱππικαῖς αὐτῶν δυνάμεσι ταῖς εἰς λείαν ἐκδραμούσαις
to-the cavalry their forces the(-ones) for plunder having-run-out
τάχιον ἑνωθῆναι. καὶ ὁδοιπορούντων αὐτῶν ἐπιτυγχάνων
more-quickly to-be-united and marching them coming-upon
ὁ στρατηγός, προθύμως εἰς τὸν κατ᾽ αὐτῶν ὁρμησάτω
the general eagerly into the against them let-him-set-out
πόλεμον, καθὼς καὶ περὶ τοῦ ἐν τῇ ὁδοιπορίᾳ φωσσάτου
war as also about the in the march army
διακεχωρισμένου τοῦ κούρσου προειρήκαμεν. καὶ πάντα
separated from-the raiding-force we-said-before and all-things
ἐπιμελῶς ποιοῦντος τοῦ στρατηγοῦ κατὰ τὴν προτέραν
carefully doing the general according-to the former
διάταξιν, τὴν τοῦ Θεοῦ ἔχων βοήθειαν καὶ τῆς ἁγίας καὶ
arrangement the — of-God having help and of-the holy and
παναχράντου μητρὸς αὐτοῦ καὶ Θεοτόκου, μεγάλην καὶ
all-immaculate mother his and God-bearer great and
ἀξιόλογον δουλείαν ἐπιτελέσει.
considerable service he-will-accomplish

The general must guard against surprise: the enemy learns his camp from prisoners and deserters. His watchers report at once every movement, its road, and its numbers, but he also keeps double or triple watch-posts, outer and inner, on the roads by night and on the heights by day, shifts camp twice a night, and leaves receivers behind. Near the enemy he sends his baggage-train to a fort and carries two or three days' food on swift mules. Each theme or tagma marches apart by night in silence. The Tarsians once feigned a small raid, and the hasty general fell into their ambush because the tourmarch searched poorly; the hollows must be searched and the army divided, with a battle-line ahead and the general's behind, before striking the Emir's thinned array.

Περὶ ἀσφαλείας. 15

about safety

Δεῖ οὖν σέ, ὦ στρατηγέ, πᾶσαν ἀσφάλειαν καὶ φυλακὴν
must then you O general all safety and guard
ἔχειν, τοῦ μὴ αἰφνιδιασμὸν ὑποστῆναι, καὶ ἀδοκήτως τοὺς
to-have for-the not surprise to-undergo and unexpectedly the
πολεμίους κατὰ σοῦ τὴν ἔφοδον ἐργάσασθαι. ἕξεις
enemies against you the attack to-make you-will-have
δὲ τὴν φυλακὴν καὶ ἀσφάλειαν, εἴγε καθ' ἑκάστην
and the guard and safety if-indeed on each
ἡμέραν ἀποστέλλονται παρὰ σοῦ οἱ ὀφείλοντες
day are-sent by you the(-men) owing
παραμένειν τῷ τῶν πολεμίων φωσσάτῳ, ἐν ᾧ τόπῳ
to-stay-beside the of-the enemies army in which place
αὐλίζονται. ἐκείνων γὰρ διὰ σπουδῆς τιθεμένων καὶ
they-encamp they for with zeal making(-it) and
πᾶσαν μηχανὴν καταβαλλομένων, ἀδοκήτως σοι ἐντυχεῖν,
every device laying-down unexpectedly you to-meet
τοῦ καταγωνίσασθαί σε, εἰς βλάβην μὲν καὶ ἀπώλειαν
for-the to-overcome you to harm indeed and destruction

τοῦ χριστωνύμου λαοῦ, καὶ ἀδοξίαν τῶν κραταιοτάτων
of-the Christ-named people and dishonor of-the most-mighty
Ῥωμαίων· εἰς ἔπαρσιν δὲ καὶ γαυρίαμα τῶν ἀλαζόνων τῆς
Romans to exaltation and also boasting of-the boastful —
Ἄγαρ υἱῶν καὶ ἀρνητῶν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· συμβαίνει
of-Hagar sons and deniers of-Christ — of-God our it-happens
γὰρ κατασχεθῆναι παρ᾽ αὐτοῖς δεσμώτας τῶν ἡμετέρων, ἢ
for to-be-seized among them prisoners of-the ours or
καὶ αὐτομόλους γενέσθαι, καὶ παρ᾽ αὐτῶν μαθεῖν, ἐν ποίῳ
also deserters to-become and from them to-learn in what
τύπῳ αὐλίζῃ. ἵν᾽ οὖν μὴ νυκτὸς τὰς ἱππικὰς δυνάμεις
manner you-encamp so-that then not by-night the cavalry forces
αὐτῶν ἀνελόμενοι ἐξελάσωσι καταλαβεῖν σε, καὶ ἀδοκήτως
their having-taken-up they-ride-out to-overtake you and unexpectedly
ἐπιπέσωσι· διὰ ταῦτα δέον τοὺς παραμένοντας,
fall-upon because-of these-things it-is-needful the(-men) staying-beside
ἡνίκα τῆς ταραχῆς τοῦ λαοῦ τῶν πολεμίων αἴσθωνται
when the disturbance of-the troops of-the enemies they-perceive
πρὸς κίνησιν, εὐθέως τάχει πολλῷ καταμηνύσαι, ὅτι τε
for movement at-once with-speed much to-report that and
ὁ λαὸς διεταράχθη πρὸς κίνημα· πάλιν δὲ ἀποκινούντων,
the troops were-disturbed for movement again and moving-off
δι᾽ οἵας ἂν ὁδοῦ τὴν πορείαν ποιῶνται· καὶ αὖθις
through what — road the march they-make and again
καταμηνύειν, ὅ τι τε πλῆθος λαοῦ ἀπεκίνησαν, καὶ ἣν
to-report what — both multitude of-troops moved-off and which
ὁδὸν πορεύονται, εἴτε ἅπαντες σὺν τῷ πεζικῷ, εἴτε οἱ
road they-go whether all with the infantry or the
ἱππεῖς μόνοι. ὁ δὲ στρατηγὸς μὴ θαῤῥείτω μόνον εἰς τὰ
horsemen alone the and general not let-him-trust only in the
ἐρχόμενα πρὸς αὐτὸν μανδάτα τῶν παραμενόντων τοῖς
coming to him messages of-the(-men) staying-beside the

πολεμίοις, ἀλλὰ καὶ βίγλας ἐχέτω διπλᾶς, ἐξώβιγλα
enemies but also watch-posts let-him-have double outer-watch-posts
καὶ ἐσώβιγλα, ἔστιν ὅτε καὶ τριπλᾶς· καὶ ἐν νυκτὶ μὲν
and inner-watch-posts it-is when also triple and in night indeed
τὰς ὁδοὺς φυλάττειν, καὶ ἐν οἷς τόποις διάβασιν ὑφορᾶται
the roads to-guard and in which places crossing is-suspected
πολεμίων· ἐν ἡμέρᾳ δέ, μὴ μόνον τὰς ὁδοὺς φυλάττειν τοὺς
of-enemies in day and not only the roads to-guard the
βιγλάτορας, ἀλλὰ καὶ εἰς τόπους ἀνέρχεσθαι ὑψηλοτάτους·
lookouts but also to places to-go-up most-high
πρὸς τὸ δύνασθαι αὐτοὺς εὐχερῶς ὁρᾷν μὴ μόνον καπνοὺς
for the to-be-able them easily to-see not only smokes
καὶ κονιορτούς, ἀλλὰ καὶ λαοὺς τῶν πολεμίων, εἴπερ
and dust-clouds but also troops of-the enemies if-indeed
ἔρχωνται. πλείονας δὲ εἶναι τὰς βίγλας ἔφημεν, διὰ
they-come more and to-be the watch-posts we-said because-of
τό, εἴ ποτε συμβῇ τὴν πρώτην ὑπὸ τῶν πολεμίων
the if ever it-happen the first by the enemies
ἁλῶναι, ἡ μετ' ἐκείνην, τοὺς πολεμίους θεωροῦσα,
to-be-taken the(-one) after that the enemies seeing
τῷ στρατηγῷ τὴν τῶν ἐχθρῶν καταμηνύῃ ἔλευσιν. καὶ
to-the general the of-the enemies may-report coming and
δὶς δὲ ἐν νυκτὶ μεταπληκεύειν δεῖ τὸν στρατηγόν, καὶ ἐν
twice too in night to-shift-camp must the general and in
ἡμέρᾳ ὡσαύτως. καὶ μεταπληκεύων μὲν τοὺς βιγλάτορας
day likewise and shifting-camp indeed the lookouts
μετ' αὐτοῦ λαμβανέτω· καταλιμπανέτω δὲ ἐν ᾧ
with himself let-him-take let-him-leave and in which
τόπῳ ηὐλίζετο ἓξ ἄνδρας ἢ ὀκτώ, τοὺς ὑποδοχαρίους
place he-was-encamped six men or eight the receivers
καλουμένους, μετὰ καί τινος ἄρχοντος τῶν χρησίμων·
called with also some officer of-the useful

ἵνα οἱ πεμπόμενοι παρὰ τῶν παραμενόντων τοῖς
so-that the(-men) sent by the(-men) staying-beside the
ἐχθροῖς μανδάτα φέροντες, προσερχόμενοι, δι᾽ αὐτῶν
enemies messages carrying arriving through them
τῷ στρατηγῷ ἀποκομίζωνται ἐν ᾧ δὲ πάλιν τόπῳ
to-the general may-be-brought in which and again place
ὁ στρατηγὸς ἀπληκεύσει, τὰ ἐξώβιγλα ἀποστελλέτω.
the general will-encamp the outer-watch-posts let-him-send
ἔστωσαν δὲ ἀνὰ τέσσαρες ἄνδρες ἐν ἑκάστῳ σταδίῳ·
let-there-be and by four men in each stade
ἵνα, τῶν δύο καθευδόντων νυκτός, οἱ δύο γρηγορῶσιν.
so-that of-the two sleeping by-night the two may-keep-awake

16 Περὶ διαχωρισμοῦ τοῦ τούλδου.
about separation of-the baggage-train

Δεῖ οὖν σε, ὦ στρατηγέ, καὶ τοῦτο παραφυλάττειν, καὶ
must then you O general also this to-watch-for and
ἡνίκα πλησιάσαι μέλλῃς τοῖς πολεμίοις, τὸ τοῦλδον ἀπὸ
when to-draw-near you-are-about to-the enemies the baggage-train from
σοῦ διαχωρίζειν καὶ ἀποστέλλειν μήκοθεν, ἐν ὀχυρῷ τόπῳ
you to-separate and to-send from-afar in strong place
ἢ ἐν κάστρῳ, ἄνδρα τινὰ τῶν χρησίμων καὶ ἐμπείρων
or in fort man some of-the useful and experienced
ἐφιστῶν, προνοεῖσθαι αὐτοῦ· καὶ ἱππεῖς μαχίμων ἀνδρῶν
setting-over to-take-care-of it and horsemen of-fighting men
ὀλίγους τινὰς παρέχειν τῷ ἄρχοντι τοῦ τούλδου, ὅπως
few some to-provide to-the officer of-the baggage-train so-that
δι᾽ αὐτῶν αἱ βίγλαι κρατῶνται εἰς φυλακὴν τοῦ τούλδου.
through them the watch-posts be-held for guard of-the baggage-train
ἡνίκα δὲ πάλιν ἐν χρείᾳ τούτου γένηται, καταμηνύειν
when and again in need of-it be-be to-report
τῷ ἐμπεπιστευμένῳ τὴν πρόνοιαν αὐτοῦ ἄρχοντι, ἐλθεῖν
to-the entrusted the care of-it officer to-come

ἐν ᾧ τόπῳ διωρίσθη τοῦ ἑνωθῆναί σοι. τοῦ μέντοι
in which place was-appointed for-the to-be-united with-you of-the however
τούλδου ἀπὸ σοῦ διαχωριζομένου, ἀναλαμβάνειν σε δεῖ
baggage-train from you being-separated to-take-up you must
ἐπισιτισμὸν τοῦ λαοῦ καὶ ταγὰς τῶν ἵππων, δύο ἡμερῶν
provisioning of-the troops and rations of-the horses of-two days
ἢ τριῶν, βασταζομένας εἰς ταχεῖς ἡμιόνους, ἢ καὶ ἵππους
or three being-carried on swift mules or also horses
ἐν τοῖς σαγμοσελλίοις. ἡνίκα δὲ μέλλῃς κούρσῳ
on the pack-saddles when and you-are-about (the)-raiding-force
τῶν πολεμίων ἀκολουθῆσαι νυκτός, ἅπαν τὸ μάχιμον
of-the enemies to-follow by-night all the fighting
στράτευμα τεθωρακισμένον ἔστω, ἑκάστου τὸ ἐπιτήδειον
army armored let-it-be of-each the suitable
πρὸς τὸ πολεμεῖν ὅπλον ἐν χερσὶν ἔχοντος. ἀλλὰ καὶ
for the to-make-war weapon in hands having but also
τὸ λεγόμενον σάκα ὄπισθεν ἔχε, ἐπακολουθοῦν σοι. καὶ
the called saka behind have following you and
εἰ μὲν διὰ δυσβάτων τόπων ἡ πορεία τῶν πολεμίων
if indeed through impassable places the march of-the enemies
γένηται, δέον ἰδίως ἓν ἕκαστον θέμα, ἢ καὶ τάγμα,
happen it-is-needful separately one each theme or also tagma
εἰ πάρεισιν, ὁδοιπορεῖν· ὁ μὲν στρατηγὸς ἔμπροσθεν,
if they-are-present to-march the indeed general in-front
ἑπόμενος τῷ τουρμάρχῃ τῷ ἀκολουθοῦντι τοῖς πολεμίοις
following the tourmarch the following the enemies
κατὰ πολὺ πόῤῥω· εἶθ' οὕτως καὶ τὰ λοιπά, εἴτε θέματα
by much far then thus also the others whether themes
εἶεν εἴτε τάγματα, καθὲν τῷ ἑτέρῳ ἐφεπόμενον· διὰ
they-be or tagmata each-one the other following because-of
τὸ καὶ καλῶς ὁδοιπορεῖν ἐν νυκτί, καὶ ἄνευ κραυγῆς

καὶ θορύβων. τῷ δὲ τουρμάρχῃ, τῷ ἐπακολουθοῦντι
and noises to-the and tourmarch the following
τῷ κούρσῳ, παραγγεῖλαι καὶ ἐξασφαλίσασθαι, ἀκρίβειαν
the raiding-force to-command and to-make-sure exactness
ἔχειν ὑπερβάλλουσαν καὶ ἐγρήγορσιν, μή ποτε οἱ πολέμιοι
to-have surpassing and wakefulness lest ever the enemies
αἰσθόμενοι ἐπακολουθεῖσθαι αὐτοὺς παρὰ σοῦ, διαχωρίσωσι
having-perceived to-be-followed them by you separate
μὲν τοὺς ἐκλεκτοὺς αὐτῶν μαχίμους τοὺς πλείονας τοῦ ὑπ᾽
indeed the picked their fighting(-men) the more(-part) of-the under
αὐτὸν λαοῦ, καὶ ἀποκρύψωσιν εἰς λόχους, καὶ ἀδοκήτως
him troops and hide into ambushes and unexpectedly
κατὰ σοῦ ἐπίθωνται· ἐπειδὴ τοιαύτην ἐνέδραν παρὰ τῶν
against you attack since such ambush by the
Ταρσιτῶν ἐν τοῖς ἄνω χωρίοις γενομένην εἴδομεν. τοῦ
Tarsians in the upper places having-happened we-saw of-the
γὰρ στρατηγοῦ τότε θεωμένου κονιορτοὺς τῶν εἰς λείαν
for general then seeing dust-clouds of-the for plunder
ἐξελαυνόντων, οὐκ ἐν ἀληθείᾳ, ἀλλ᾽ ἐν σχήματι κούρσου,
riding-out not in truth but in show of-raiding-force
ὀλίγων καὶ τούτων εὐτελεστέρων, καὶ κατ᾽ αὐτῶν ἐπελθεῖν
of-few and these more-worthless and against them to-advance
ἐπειγομένου, καὶ τοῦ τουρμάρχου τοῦ ἐπακολουθοῦντος
hastening and the tourmarch the following
τῷ κούρσῳ καταμελήσαντος, καὶ μὴ τοὺς λόχους καλῶς
the raiding-force having-neglected and not the ambushes well
ἐρευνήσαντος, ἀδοκήτως τῷ ἐγκρύμματι περιπέπτωκε.
having-searched unexpectedly into-the concealment he-has-fallen
καὶ ἵνα μὴ τοιοῦτον γένηται, δεῖ σε, ὦ στρατηγέ,
and so-that not such-thing happen must you O general
πολλὴν τὴν ἀσφάλειαν ποιεῖσθαι, καὶ ἐρευνᾷν τοὺς κοίλους
much the safety to-make and to-search the hollows

τῶν τόπων καὶ ἀποκρύφων, διὰ καβαλλαρίων ἵππους
of-the places and hidden through horsemen horses
ἐχόντων ταχεῖς καὶ ἀκριβῆ εἴδησιν τῶν τόπων· καὶ περὶ
having swift and exact knowledge of-the places and about
τὸ διάφαυσμα διχῇ διελεῖν τὸ στράτευμα, εἴγε εἰς πλῆθός
the dawn in-two to-divide the army if-indeed in multitude
ἐστι, καὶ εἰς τρεῖς ἀριθμεῖται χιλιάδας· καὶ τοὺς μὲν
it-is and in three is-numbered thousands and the indeed
παραϊππαράτους καὶ τὰς ταγὰς τῶν ἵππων ἐπιφερομένους
spare-mounts and the rations of-the horses carrying
μήκοθεν ἀποστέλλειν ἐν ὀχυρῷ τόπῳ. τὰς δὲ παρατάξεις
from-afar to-send in strong place the and battle-lines
οὕτως δεῖ παρασκευάσαι, διὰ τὰς τῶν πολεμίων
thus must-one to-prepare because-of the of-the enemies
ἀδοκήτους ἐνέδρας. καὶ ἡ μὲν πρώτη ἐχέτω ἀρχηγὸν τῶν
unexpected ambushes and the indeed first let-it-have a-leader of-the
ἀξιολογωτέρων στρατηγῶν, καὶ τὸ τρίτον μέρος τοῦ ὑπὸ
more-notable generals and the third part of-the under
σὲ λαοῦ, καὶ ὄπισθεν μὲν τοῦ τουρμάρχου ὁδοιπορείτω. σὺ
you troops and behind indeed the tourmarch let-it-march you
δὲ μετὰ τῆς μεγάλης παρατάξεως ἐπακολούθει τῇ πρώτῃ,
and with the great battle-line follow the first
ἔχων καὶ τὸ σάκα ὄπισθέν σου μετ᾽ ὀλίγων ἱππέων
having also the saka behind you with few horsemen
ἐπακολουθοῦν· ἵνα, εἰ συμβῇ κατὰ σοῦ ἐνεδρεῦσαι τοὺς
following so-that if it-happen against you to-ambush the
πολεμίους, καὶ τοὺς πλείονας αὐτῶν μαχίμους ἄνδρας εἰς
enemies and the more their fighting men into
λόχους καταστῆσαι, καὶ ἐπελθεῖν τῷ αὐτοῖς ἐπακολουθοῦντι
ambushes to-set and to-attack the them following
τουρμάρχῃ, δέξηται τοῦτον ἐπιβοηθοῦσα ἡ πρώτη καὶ
tourmarch may-receive him helping the first and

ἔμπροσθέν σου περιπατοῦσα παράταξις. εἶτα πολέμου μετ'
in-front-of you going-about battle-line then war with
αὐτῆς συῤῥαγέντος, καὶ τῶν πολεμίων διασκορπιζομένων
it having-broken-out and the enemies scattering
ἐν τῇ μάχῃ καὶ τὴν τάξιν λυόντων, εὑρὼν αὐτοὺς
in the battle and the order breaking having-found them
διεσκεδασμένους ὑπερισχύσεις αὐτῶν. τῶν δὲ πολεμίων πρὸς
dispersed you-will-overpower them the and enemies for
τὴν τοιαύτην ἐνέδραν μὴ παρασκευασθέντων, ἀλλὰ πρὸς
the such ambush not having-been-prepared but for
τὸ ἐκδραμεῖν καὶ τὰς χώρας ληΐσασθαι κατεπειγομένων,
the to-run-out and the lands to-plunder pressing
χρὴ πρὸ τοῦ διαυγάσαι τὰς τάξεις τοῦ ὑπὸ σὲ
it-is-needful before the to-dawn the ranks of-the under you
στρατεύματος εἰς τόπους ἀποκρύψαι, πρὸς τὸ μὴ τοῖς
army into places to-hide for the not by-the
πολεμίοις φωραθῆναι, καὶ ἐν τοῖς τοιούτοις ἐγκρύμμασι
enemies to-be-detected and in the such concealments
καρτερῆσαι ἄχρι τρίτης ὥρας ἢ καὶ τετάρτης τῆς ἡμέρας,
to-hold-out until third hour or also fourth of-the day
ἕως ἂν οἱ πολέμιοι πρὸς λείαν ἐξελάσωσι· καὶ τούτων
until — the enemies for plunder ride-out and these
πόῤῥω γινομένων τῆς τοῦ Ἀμηρᾶ παρατάξεως, μετ' ὀλίγων
far getting the of-the Emir battle-array with few
ἀνδρῶν καταλιμπανομένης, καὶ μὴ πλῆθος ἐχούσης λαοῦ,
men being-left and not multitude having of-troops
κατ' αὐτῆς ἐπελθεῖν. καὶ τρεῖς μὲν ἔμπροσθεν παρατάξεις
against it to-advance and three indeed in-front battle-lines
ἀποστεῖλαι ἰσομετώπους, προσβαλεῖν πόλεμον· σὲ δὲ μεθ'
to-send of-equal-front to-make war you and with
ἑτέρων τριῶν ἢ καὶ τεσσάρων παρατάξεων, ταῖς πρώταις
other three or also four battle-lines the first

ἑπόμενον, πλησίον ἐπακολουθεῖν. καὶ ἡνίκα αἱ πρῶται
following near to-follow and when the first
παρατάξεις τῆς ἐκ χειρῶν μάχης ἄρξωνται, καθὼς ὁρᾷς
battle-lines the from hands battle begin as you-see
τοὺς οἰκείους ἀγωνιζομένους, οὕτω καὶ βοήθειαν παρέχειν.
the own(-men) contending so also help to-provide
καὶ πρῶτον μὲν τὰς ἔνθεν κἀκεῖθεν συνεπομένας
and first indeed the on-this-side and-that following-with
παρατάξεις προαποστεῖλαι, τοῖς πολεμίοις συναφθῆναι,
battle-lines to-send-ahead with-the enemies to-be-joined
καὶ ἐκ τῶν ἄκρων, εἰ δυνατόν, καὶ ἐκ πλαγίου
and from the wings if possible and from flank
προσβαλεῖν, καὶ ἐκ χειρὸς μάχεσθαι· εἶτα καὶ σὲ αὐτόν,
to-attack and from hand to-fight then also you yourself
εἰ χρή, συμβαλεῖν, εἴπερ ἄρα μὴ ἐπικρατέστερος ὁ ὑπὸ
if needful to-join(-battle) if-indeed then not stronger the under
σὲ λαὸς γέγονεν. ἀλλὰ μετ᾽ ὀλίγου λαοῦ, ὡς ἔφημεν, τῆς
you troops has-become but with few troops as we-said the
παρατάξεως τοῦ Ἀμηρᾶ καταλιμπανομένης, οὐ δυνήσεται
battle-array of-the Emir being-left not will-be-able
ἀντισχεῖν περὶ τὰς τρεῖς χιλιάδας τὸ ὑπὸ σὲ ἀριθμούμενον
to-hold-out about the three thousands the under you numbered
στράτευμα. ἀλλὰ ταῦτα μέν, ὡς ἡ πεῖρα διδάσκει,
army but these-things indeed as the experience teaches
ἐκτίθεμεν· σὲ δὲ πρὸς τὴν κατεπείγουσαν τοῦ καιροῦ χρείαν
we-set-out you and to the pressing of-the time need
τε καὶ περίστασιν διατεθῆναι δεῖ. οὐ γὰρ ἡ παράδοσις
both and circumstance to-be-disposed must not for the tradition
δίδωσιν, ἀλλ᾽ ὡς ἡ τοῦ Θεοῦ ἐνισχύσει βοήθεια, ἡ τοῦ
gives but as the — of-God will-strengthen help the of-the
πολέμου ἔκβασις ἐπακολουθεῖ. εἰ δὲ μετὰ μόνου τοῦ ἰδίου
war outcome follows if and with only the own

θέματος ὑπάρχεις, ὦ στρατηγέ, καὶ ὀλίγον ἐστὶ τὸ ὑπὸ
theme you-are O general and small is the under
σὲ στράτευμα, καὶ ὡσαύτως δεῖ σε μετ᾽ ἀσφαλείας πόῤῥω
you army also likewise must you with safety far
τὴν τοῦ κούρσου τῶν πολεμίων ἀκολούθησιν ποιεῖσθαι,
the of-the raiding-force of-the enemies following to-make
πρὸς τὸ μὴ παρ᾽ αὐτῶν ἐπιγνωσθῆναι, καὶ κατὰ μόνων
for the not by them to-be-recognized and against only
τῶν εἰς τὰ χωρία ἐξελαυνόντων καὶ διασκορπιζομένων
the(-men) into the villages riding-out and scattering
τὴν ἐπίθεσιν ποιεῖσθαι, ὡς ἀνωτέρω δεδήλωται.
the attack to-make as above has-been-shown

VIII · AGAINST A GREAT ARMY

